Καὶ μὴ ἴσθι ταχὺς ἐν λόγοις, τοῦ αὐτοῦ Σολομῶντος[289] φωνή· πρᾶγμά τι ἔλαττον λέγοντος τὸ περὶ λόγον τάχος τῆς περὶ πρᾶξιν θερμότητος[290].

Καὶ[291] τίς ἐστι παρὰ[292] ταῦτα, ὁ τὸ τάχος ἀπαιτῶν πρὸ τῆς ἀσφαλείας καὶ τοῦ συμφέροντος; Τίς ὁ πλάττων, καθάπερ αὐθημερὸν τοὺς πηλίνους[293], τὸν τῆς ἀληθείας προστάτην, τὸν μετὰ Ἀγγέλων στησόμενον, καὶ μετὰ ἀρχαγγέλων δοξάσοντα, καὶ ἐπὶ τὸ ἄνω θυσιαστήριον αναπέμψοντα τὰς θυσίας, καὶ Χριστῷ συνιερεύσοντα[294]; τὸν ἀναπλάσοντα τὸ πλάσμα, καὶ παραστήσοντα τὴν εἰκόνα, καὶ τῷ[295] ἄνω κόσμῳ δημιουργήσοντα, καί, τὸ μεῖζον εἰπεῖν, Θεὸν ἐσόμενον καὶ θεοποιήσοντα; Οἶδα τίνος ἐσμὲν λειτουργοί, καὶ ποῦ κείμενοι, καὶ ποῦ πέμποντες. Οἶδα τοῦ Θεοῦ τὸ ὕψος, καὶ τὴν ἀνθρωπίνην ἀσθένειαν, καὶ τὴν δύναμιν πάλιν. «Οὐρανὸς ὑψηλός, γῆ βαθεῖα[296]» καὶ τίς ἀναβήσεται τῶν ἐῤῥιμμένων τῇ ἁμαρτίᾳ; τίς περικείμενος ἔτι τὸν κάτω ζόφον καὶ τῆς σαρκὸς τὴν παχύτητα, ὅλῳ νοῒ καθαρῶς ἐποπτεύσει νοῦν ὅλον, καὶ μιγήσεται τοῖς ἑστῶσι καὶ ἀοράτοις ἐν τοῖς ἀστάτοις καὶ ὁρωμένοις; Μόλις γὰρ ἄν τις ἐνταῦθα[297] τῶν σφόδρα κεκαθαρμένων κἂν εἴδωλον τοῦ καλοῦ θεωρήσειεν, ὥσπερ οἱ τὸν ἥλιον ἐν τοῖς ὕδασι. «Τίς ὁ μετρήσας τῇ χειρὶ τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν «τὴν γῆν δρακί; Τίς ἔστησε τὰ ὄρη σταθμῷ, καὶ τὰς νάπας ζυγῷ; Τίς «τόπος τῆς καταπαύσεως αὐτοῦ, καὶ τίνι τῶν πάντων ὁμοιωθήσεται[298]; Τίς ὁ «ποιήσας τὰ πάντα ἐν λόγῳ, καὶ τῇ σοφίᾳ κατασκευάσας ἄνθρωπον[299]», καὶ εἰς ἓν ἀγαγὼν τὰ διεστῶτα, καὶ μίξας τὸν χοῦν τῷ πνεύματι, καὶ συνθεὶς ζῶον ὁρατὸν καὶ ἀόρατον, πρόσκαιρον καὶ ἀθάνατον, ἐπίγειον καὶ οὐράνιον, ἐπτόμενον Θεοῦ καὶ οὐ περιδρασσόμενον, ἐγγίζον καὶ μακρυνόμενον; «Εἶπα, σοφισθήσομαι, φησὶν ὁ Σολομών[300], καὶ αὐτὴ ἐμακρύνθη ἀπ' ἐμοῦ μακρὰν, ὑπὲρ ὃ ἦν», τὴν σοφίαν λέγων[301]». Καὶ ὄντως, «ὁ προστιθεὶς γνῶσιν προστίθησιν ἄλγημα[302]» οὐ μᾶλλον εὐφραίνοντος τοῦ εὑρεθέντος, ἢ ἀνιῶντος τοῦ διαφεύγοντος. Ὅπερ, οἶμαι, φιλεῖ συμβαίνειν τοῖς ἔτι διψῶσιν, ἀποσπωμένοις ὕδατος, ἢ κρατεῖν τι οὐ δυναμένοις, ἔχειν νομίζουσιν, ἢ οὓς[303] ἀπῆλθεν εὐθὺς ἀστραπὴ περιλάμψασα.

Τοῦτό με ἵστη κάτω, καὶ ταπεινὸν ἐποίει, καὶ εἶναι βέλτιον ἔπειθεν ἀκούειν φωνὴν αἰνέσεως, ἢ ἐξηγητὴν εἶναι τῶν ὑπὲρ δύναμιν· ἡ μεγαλειότης[304], καὶ τὸ ὕψος, καὶ τὸ ἀξίωμα, καὶ αἱ καθαραὶ φύσεις, μόλις χωροῦσαι Θεοῦ λαμπρότητα, ὃν ἄβυσσος καλύπτει, οὗ σκότος ἀποκρυφὴ[305], φωτὸς ὄντος τοῦ καθαρωτάτου καὶ ἀπροσίτου τοῖς πλείοσιν· ὃς ἐν τῷ παντί τῷ δε, καὶ τοῦ παντός ἐστιν ἔξω· ὃς καλόν ἐστιν ἅπαν, καὶ ἄνω παντὸς καλοῦ· ὃς νοῦν φωτίζει, καὶ διαφεύγει νοῦ τάχος καὶ ὕψος· ἀποχωρῶν ἀεὶ τοσοῦτον, ὅσον καταλαμβάνεται· καὶ ὑπάγων πρὸς τὰ ἄνω τὸν ἐραστήν, τῷ φεύγειν, καὶ

---

289) Ἀδν. Κ, 1. 290) Ταχύτητος. 291) Συλλογιστικός. 292) Παραβαίνων ταῦτα.
293) (Ἐνν.) Ἀνδριάντας. 294) Φαίνεσθαι ταύτην ποιήσοντα, ὡς συγκεκαλυμμένην τέως καὶ συγκεχωσμένην τοῖς πάθεσι. 295) (Ἐπὶ) τῷ, ἵνα γένηται ἄξιον (τὸ πλάσμα) τοῦ ἄνω κόσμου. 296) Παροιμ. κε', 3. 297) Ἐν τοῖς ἀοράτοις καὶ ὁρωμένοις, ἐν τούτῳ τῷ βίῳ δηλ.
298) Ἡσ. μ', 12. 299) Σοφ. Σολομ. θ', 1. 2. 300) Ἐκκλησ. ζ'. 23. 301) Ἐννοεῖ δὲ καὶ αὐτή. 302) Ἐκκλησ. Α', 18. 303) Ἀντικείμενον τοῦ Περιλάμψασα. 304) Ὡς ὑπερέχουσα τοῦ Τοῦτο. 305) «Καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ», Ψαλμ.

τῷ οἷον κρατούμενος κλέπτεσθαι. Τοσοῦτον μὲν δὴ καὶ τοιοῦτον ἡμῖν ποθούμενον, καὶ σπουδαζόμενον! Τοιοῦτον δὲ εἶναι χρὴ τὸν νυμφαγωγὸν τῶν ψυχῶν καὶ προμνήστορα!

Ἐμοί γε μὴν δέος, μὴ καὶ τοῦ νυμφῶνος ἔξω ῥιφῶ, δεθεὶς χεῖρας καὶ πόδας, ὡς οὐκ ἐνδεδυμένος ἔνδυμα γάμου, ἀλλὰ τολμηρῶς παρενείρας ἐμαυτὸν τοῖς ἐκεῖσε ἀνακειμένοις[306]. Καί τοι προσεκλήθην μὲν ἐκ νεότητος, ἵν' εἴπω τι καὶ τῶν τοῖς πολλοῖς ἀγνοουμένων, καὶ ἐπ' αὐτὸν ἐπεῤῥίφην ἐκ μήτρας, καὶ ἐδόθην δοτὸς ἐκ μητρικῆς ὑποσχέσεως[307], καὶ μετὰ τοῦτο τοῖς κινδύνοις ἐβεβαιώθην[308]· καὶ ὁ πόθος συνηυξήθη[309], καὶ ὁ λογισμὸς συνέδραμε· καὶ πάντα δέδωκα φέρων τῷ λαχόντι καὶ σώσαντι, κτῆσιν, περιφάνειαν, εὐεξίαν, τοὺς λόγους αὐτούς, ὧν τοῦτο ἀπήλαυσα μόνον, τὸ παριδεῖν, καὶ ἐσχηκέναι[310], ὧν Χριστὸν προετίμησα. Καὶ ἡδύνθη μοι τὰ τοῦ Θεοῦ λόγια ὡς κηρία μέλιτος, καὶ τὴν σύνεσιν ἐπεκαλεσάμην, καὶ τῇ σοφίᾳ ἔδωκα φωνήν μου[311]. Καὶ τἆλλα δὴ ταῦτα[312], οἷον θυμὸν μετρῆσαι[313], καὶ γλῶσσαν χαλινῶσαι, καὶ ὀφθαλμὸν σωφρονίσαι, καὶ γαστέρα παιδαγωγῆσαι, καὶ δόξαν πατῆσαι τὴν κάτω μένουσαν. Παραφρονῶν λέγω[314], ἀλλ' οὖν εἰρήσεται. Ταῦτα[315] μὲν οὐ τῶν πολλῶν ἴσως ἐγενόμην φαυλότερος. Τοῦτο[316] δὲ φιλοσοφῆσαι, κρεῖττον ἢ καθ' ἡμᾶς, δέξασθαι ψυχῶν ἡγεμονίαν καὶ προστασίαν, καὶ μήπω μηδὲ ποιμαίνεσθαι καλῶς μαθόντας ἡμᾶς, μηδὲ καθαρθέντας τὴν ψυχὴν ὅσον ἄξιον, ἔπειτα ποίμνης ἐπιστατεῖν πιστευθῆναι, καὶ ταῦτα ἐν καιροῖς τοιούτοις, ἐν οἷς ἀγαπητὸν[317] ὁρῶντα τοὺς ἄλλους ἄνω καὶ κάτω φερομένους τε καὶ ταρασσομένους, φυγόντα φυγῇ ἐκ τοῦ μέσου, ὑπὸ σκέπην ἀναχωρήσαντα, λαθεῖν τοῦ πονηροῦ τὴν ζάλην καὶ τὴν σκοτόμαιναν· ἡνίκα πολεμεῖ μὲν ἀλλήλοις τὰ μέλη, οἴχεται δὲ τῆς ἀγάπης, εἰ καί τι ἦν λείψανον· ὄνομα δὲ κενὸν ἄλλως ὁ ἱερεύς, ἐκχυθείσης ἐπ' ἄρχοντας ἐξουδενώσεως, ὥσπερ εἴρηται. Καὶ εἴθε κενόν· νυνὶ δὲ ...[318] τρέποιτο εἰς κεφαλὰς ἀθέων ἡ βλασφημία! Φόβος δὲ ἅπας ἐξώρισται τῶν ψυχῶν, ἀντεισῆκται δὲ ἀναίδεια· τοῦ βουλομένου[319] δὲ ἡ γνῶσις καὶ τὰ βάθη τοῦ πνεύματος· πάντες δὲ ἐσμεν εὐσεβεῖς, ἐξ ἑνὸς μόνου τοῦ καταγινώσκειν ἄλλων ἀσέβειαν· χρώμεθα δὲ δικασταῖς τοῖς ἀθέοις[320], καὶ ῥιπτοῦμεν τὰ ἅγια τοῖς κυσί, καὶ βάλλομεν τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων[321], βεβήλοις ἀκοαῖς καὶ ψυχαῖς τὰ θεῖα δημοσιεύοντες, καὶ τὰς τῶν ἐχθρῶν εὐχὰς ἐπιμελῶς ἐκπληροῦμεν οἱ δείλαιοι, καὶ πορνεύοντες ἐν τοῖς ἐπιτηδεύμασιν ἡμῶν, οὐκ αἰσχυνόμεθα. Μωαβῖται δὲ καὶ Ἀμμανῖται[322], οἷς οὐδὲ ἐξῆν παριέναι εἰς Ἐκκλησίαν Κυρίου, τοῖς ἁγιωτάτοις ἡμῶν ἐμβατεύουσιν.

---

306) Ματθ. ΚΒ', 12, 13. 307) Διότι ἡ μήτηρ του, ἐπιθυμοῦσα νὰ γεννήσῃ ἀρσενικόν, εἶχε τάξῃ εἰς τὸν Θεὸν ν' ἀφιερώσῃ τὸ γεννηθησόμενον εἰς αὐτόν, καθὼς ἡ Ἄννα τὸν Σαμουήλ. 308) Ἴδε σημείωσιν 32. 309) Τῇ ἡλικίᾳ. 310) Ἐσχηκέναι αὐτούς, μόνον ἵνα προτιμήσω αὐτῶν τὸν Χριστόν. 311) Παροιμ. ις', 24. Ψαλμ. ιη', 11. ριη', 103. 312) Προσεκτησάμην. 313) Μέτρον ἐπιθεῖναι, μετριάσαι. 314) Ἔκφρασις τοῦ ἀποστόλου Παύλου, Κορινθ. Β', ια, 22. 23. 315) (Κατὰ) ταῦτα. 316) (Κατὰ) τοῦτο, τὸ δέξασθαι κτλ. 317) Τὸ λαθεῖν ἦτον ἀγαπητόν. 318) Καὶ εἴθε ἦν μόνον κενόν. Νυνὶ δέ..., καὶ παρασιωπᾷ τὴν λέξιν ὡς βλάσφημον. 319) Ἑκάστου ὅς ἂν βούληται, παντὸς καὶ τοῦ τυχόντος. 320) Τοῖς Ἕλλησι κατὰ τὴν θρησκείαν. 321) Ματθ. ζ', 6. 322) Οἱ εἰδωλολάτραι.

Ἠνεῴξαμεν δὲ πᾶσιν οὐ πύλας δικαιοσύνης[323], ἀλλὰ θύρας λοιδορίας τε καὶ τῆς κατ' ἀλλήλων θρασύτητος· καὶ οὗτος ἄριστος ἡμῖν, οὐχ ὃς μηδὲ ῥῆμα προήται ἀργὸν φόβῳ Θεοῦ[324], ἀλλ' ὃς ἂν τύχῃ πλεῖστα τὸν πλησίον εἰπὼν κακῶς, ἢ διαῤῥήδην, ἢ ἐν αἰνίγμασι· καὶ ὑπὸ τὴν γλῶσσαν αὐτοῦ στρέφων κόπον καὶ πόνον, ἢ ἰὸν ἀσπίδων[325], εἰπεῖν οἰκειότερον. Τηροῦμεν δὲ τὰς ἀλλήλων ἁμαρτίας, οὐχ ἵνα θρηνήσωμεν, ἀλλ' ἵνα ὀνειδίσωμεν· οὐχ ἵνα θεραπεύσωμεν, ἀλλ' ἵνα προσπλήξωμεν· καὶ ἀπολογίαν ἔχομεν τῶν ἡμετέρων κακῶν τὰ τῶν πλησίον τραύματα· κακοὺς δὲ καὶ ἀγαθοὺς οὐχ ὁ τρόπος, ἀλλ' ἡ διάστασις καὶ ἡ φιλία χαρακτηρίζει· καὶ ἃ σήμερον ἐπαινοῦμεν, αὔριον ἐκακίσαμεν[326]· καὶ ἃ παρ' ἄλλοις στηλιτεύεται, παρ' ἡμῖν θαυμάζεται· καὶ πάντα συγχωρεῖται προθύμως τῷ ἀσεβεῖν[327]. Οὕτω δὴ κακίαν ἐσμὲν μεγαλόψυχοι!

Γέγονε δὲ τὰ πάντα ὡς τὸ ἀπαρχῆς[328], ὅτε οὔπω κόσμος ἦν οὐδὲ ἡ νῦν εὐταξία καὶ μόρφωσις, ἀλλὰ συγκεχυμένον τὸ πᾶν, καὶ ἀνώμαλον, ἐδεῖτο τῆς εἰδοποιοῦ χειρὸς καὶ δυνάμεως. Εἰ βούλει δὲ, ὡς ἐν νυκτομαχίᾳ καὶ σελήνης ἀμυδροῖς φέγγεσιν, ἐχθρῶν ἢ φίλων ὄψεις οὐ διαγινώσκοντες, ἢ ὡς ἐν ναυμαχίᾳ καὶ ζάλῃ, καὶ πνευμάτων ἐμβολαῖς, καὶ ῥοθίῳ ζέοντι, καὶ κυμάτων ἐπιδρομαῖς, καὶ νηῶν ἀραγμοῖς, καὶ κοντῶν ὠθισμοῖς, καὶ κελευστῶν φωναῖς, καὶ πιπτόντων οἰμωγαῖς, ὑπερηχούμενοί τε καὶ ἀπορούμενοι, καὶ τῆς ἀνδρίας καιρὸν οὐκ ἔχοντες[329], (φεῦ τοῦ πάθους!), ἀλλήλοις περιπίπτομεν, καὶ ὑπ' ἀλλήλων ἀναλισκόμεθα.

Καὶ οὐχ ὁ λαὸς μὲν οὕτως, ὁ δὲ ἱερεὺς ἑτέρως· ἀλλά μοι νῦν ἐκεῖνο πληροῦσθαι δοκεῖ καθαρῶς, τὸ, «Γέγονεν ὁ ἱερεὺς καθὼς ὁ λαός[330]»· ἐν κατάρᾳ πάλαι λεγόμενον. Καὶ οὐχ οἱ πολλοὶ μὲν οὕτως, οἱ δὲ ἁδροὶ τοῦ λαοῦ, ὡς εἴρηται, καὶ προέχοντες ἐναντίως· ἀλλ' οὗτοί γε καὶ φανερῶς πολεμοῦσι τοῖς ἱερεῦσιν, ἐφόδιον ἔχοντες εἰς πειθὼ τὴν εὐσέβειαν. Καὶ ὅσοι μὲν περὶ πίστεως τοῦτο πασχόντων[331], καὶ τῶν[332] ἀνωτάτω ζητημάτων καὶ πρώτων, οὐδὲ ἐγὼ μέμφομαι· ἀλλ', εἰ δεῖ τἀληθὲς εἰπεῖν, καὶ προσεπαινῶ, καὶ συνήδομαι, καὶ τούτων εἴην, τῶν ὑπὲρ ἀληθείας ἀγωνιζομένων καὶ ἀπεχθανομένων, μᾶλλον δὲ καὶ εἶναι καυχήσομαι· κρείσσων γὰρ ἐπαινετὸς πόλεμος, εἰρήνης χωριζούσης Θεοῦ· καὶ διὰ τοῦτο τὸν πρᾶον μαχητὴν[333] ὁπλίζει τὸ πνεῦμα, ὡς καλῶς πολεμεῖν δυνάμενον. Νῦν δὲ εἰσί τινες, οἳ καὶ περὶ μικρῶν πολεμοῦντες, καὶ εἰς οὐδὲν ὄφελος, καὶ κοινωνούς, ὅσους ἂν δύνωνται, τοῦ κακοῦ προσλαμβάνοντες, λίαν ἀμαθῶς καὶ θρασέως· εἶτα ἐπὶ πᾶσιν ἡ πίστις[334], καὶ τοῦτο τὸ σεμνὸν ὄνομα ταῖς ἰδίαις αὐτῶν φιλονεικίαις

---

323) «Ἀνοίξατέ μοι πύλας δικαιοσύνης», Ψαλμ.
324) Ματθ. ι. 28.
325) «Ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος καὶ πόνος». «Ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν», Ψαλμ.
326) Κατ' ἀντιχρονισμὸν ἀντὶ Κακίζομεν.
327) Κατὰ τὸν Συγγρ., μόνης τῆς ἀσεβείας μενούσης ἀσυγχωρήτου, πάντα τ' ἄλλα συγχωρεῖται. Πιθανώτερον ὅμως, ὡς ἐκ τῆς συνθήκης τοῦ λόγου, τὸ πάντα συγχωρεῖσθαι προθύμως διὰ τὴν περὶ πάντα ἀσέβειαν.
328) Ἐν ἀρχῇ τῆς δημιουργίας, ὅτε ἡ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος· ἢ, κατὰ τὸν Συγγρ., πρὸ τῆς Χριστοῦ ἐλεύσεως.
329) Οὐκ ἔχοντες καιρὸν πρὸς ἐπίδειξιν τῆς ἀνδρίας ἡμῶν κατὰ τῶν ἐχθρῶν ὡς οἱ ἐν νυκτομαχίᾳ καὶ ζάλῃ στρατιῶται.
330) Ἡσ. κδ'.
331) (Εἰσὶν ἐκ τῶν) πασχόντων, πάσχουσιν.
332) (Περὶ) τῶν.
333) «Ὁ πραῢς ἔσω μαχητής», Ἰωὴλ, Γ, 11.
334) Ἐπιλέγεται δηλαδή, ὡς ἀφορμὴ τῶν διατριβῶν καὶ πολέμων.

παρασυρόμενον. Ἐκ δὲ τούτων, ὡς τὸ εἰκός, μισούμεθα μὲν ἐν τοῖς ἔθνεσι καί, ὃ τούτου χαλεπώτερον, οὐδὲ εἰπεῖν ἔχομεν, ὡς οὐ δικαίως· διαβεβλήμεθα δὲ καὶ τῶν ἡμετέρων τοῖς ἐπιεικεστέροις. Οὐδὲν γὰρ θαυμαστόν, εἰ τοῖς πλείοσιν[335], οἳ μόλις ἄν τι καὶ τῶν καλῶν ἀποδέχοιντο. Τεκταίνουσι δὲ ἐπὶ τῶν νώτων ἡμῶν οἱ ἁμαρτωλοί[336], καὶ ἃ κατ' ἀλλήλων ἐπινοοῦμεν, κατὰ πάντων ἔχουσι. Καὶ γεγόναμεν θέατρον καινόν, οὐκ ἀγγέλοις καὶ ἀνθρώποις, οἷον ὁ γενναιότατος τῶν ἀθλητῶν Παῦλος[337], πρὸς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἀγωνιζόμενος[338]· ἀλλὰ πᾶσι μικροῦ[339] τοῖς πονηροῖς, καὶ ἐπὶ παντὸς καιροῦ καὶ τόπου, ἐν ἀγοραῖς, ἐν πότοις, ἐν εὐφροσύναις, ἐν πένθεσιν. Ἤδη δὲ προήλθομεν καὶ μέχρι τῆς σκηνῆς[340] (ὃ μικροῦ δακρύω λέγων) καὶ μετὰ τῶν ἀσελγεστάτων γελώμεθα· καὶ οὐδὲν οὕτω τερπνὸν τῶν ἀκουσμάτων καὶ θεαμάτων, ὡς Χριστιανὸς κωμῳδούμενος.

Ταῦτα ἡμῖν[341] ὁ πρὸς ἀλλήλους πόλεμος. Ταῦτα οἱ λίαν ὑπὲρ τοῦ ἀγαθοῦ καὶ πρᾴου[342] μαχόμενοι. Ταῦτα οἱ πλέον ἀγαπῶντες τὸν Θεόν, ἢ ὅσον συμφέρει. Καὶ παλαίειν μὲν οὐκ ἔξεστιν ἔξω τῶν νενομισμένων, οὐδὲ ἄλλο τι ἀγωνίζεσθαι, ἢ καταβοήσεται[343] καὶ ἀτιμασθήσεται καὶ ἀπολεῖ τὴν νίκην ὁ ἐκπαλαίων[344], ἢ ἄλλο τι μὴ καλῶς ἀγωνιζόμενος, οὐδὲ κατὰ τοὺς κειμένους ὅρους τῆς ἀγωνίας, κἂν ὅτι γενναῖος ᾖ καὶ τεχνικώτατος· ὑπὲρ Χριστοῦ δὲ ἀγωνιεῖταί τις, οὐ κατὰ Χριστόν, ἔπειτα χαριεῖται τῇ εἰρήνῃ[345], πολεμῶν ὑπὲρ αὐτῆς, ὡς οὐκ ἔξεστιν; Καὶ οἱ μὲν δαίμονες φρίττουσιν εἰσέτι καὶ νῦν Χριστοῦ καλουμένου, καὶ οὐδὲ ὑπὸ τῆς κακίας ἡμῶν ἐξίτηλος γέγονεν ἡ τοῦ ὀνόματος τούτου δύναμις· ἡμεῖς δὲ οὐκ αἰσχυνόμεθα τὸ σεμνὸν οὕτω καὶ πρᾶγμα καὶ ὄνομα καθυβρίζοντες καὶ μονονοὺ φανερῶς αὐτοῦ[346] βοῶντος ἀκούοντες, καὶ καθ' ἑκάστην ἡμέραν, «Τὸ γὰρ ὄνομά μου βλασφημεῖται δι' ὑμᾶς ἐν τοῖς ἔθνεσι». Καὶ τὸν μὲν ἔξωθεν οὐ δεδοίκαμεν πόλεμον, οὐδὲ τὸν νῦν ἐπαναστάντα θῆρα[347] ταῖς Ἐκκλησίαις καὶ τοῦ πονηροῦ τὸ πλήρωμα, κἂν πῦρ ἀπειλῇ, κἂν ξίφη, κἂν θῆρας, κἂν κρημνούς, κἂν βάραθρα, κἂν πάντων γένηται τῶν πώποτε μανέντων ἀπανθρωπότατος, κἂν ταῖς οὔσαις τιμωρίαις προσεξεύρῃ χαλεπωτέρας, ἓν ἔχω πρὸς πάντα φάρμακον, μίαν ὁδὸν εἰς νίκην (ἐν Χριστῷ καυχήσομαι), τὸν ὑπὲρ Χριστοῦ θάνατον.

Πρὸς δὲ τὸν ἐμὸν πόλεμον, οὐκ ἔχω τίς γένωμαι, τίνα συμμαχίαν ἐξεύρω, τίνα λόγον σοφίας, τί χάρισμα, ποίᾳ πανοπλίᾳ πρὸς τὰς τοῦ πονηροῦ μεθοδίας ὁπλίσωμαι. Τίς νικήσει τοῦτον; Μωσῆς, ἐκτείνας τὰς χεῖρας ἐπὶ τοῦ ὄρους[348], ἵν' ὁ σταυρὸς ἰσχύσῃ τυπούμενος καὶ προμηνυόμενος· Τίς; Ἰησοῦς[349] μετὰ τοῦτον, τῷ ἀρχιστρατήγῳ τῶν θείων παρατάξεων συμπαρα-

---

335) Διαβεβλήμεθα. 336) Ψαλμ. κη' 3. 337) Κορινθ. Α', δ', 9. 338) Ἐφεσ. ς'. 339) Μικροῦ δεῖν. 340) Τοῦ θεάτρου δηλ., κωμῳδούμενοι. 341) (Ἐνν.) Ἐνεποίησεν ἢ προεξένησε κτλ. 342) Ἰησοῦ τοῦ Χριστοῦ. 343) Ὁ παρὰ τοὺς ἀθλητικοὺς νόμους παλαίων ἐκδιωχθήσεται ὑπὸ τοῦ πλήθους τῶν θεατῶν βοῶντος, ἐκσυριχθήσεται· λέγει δὲ καὶ ὁ Ἀπόστολος: «Ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ». 344) Παλαίων ἔξω τῶν νενομισμένων. 345) Διὰ τὸ ἐπιφωνούμενον, Εἰρήνη ὑμῖν, Εἰρήνη πᾶσιν, ὑπὸ τοῦ ἱερέως ἢ τοῦ ἀρχιερέως. 346) Τοῦ Χριστοῦ. 347) Τὸν αὐτοκράτορα Ἰουλιανὸν ἢ τὸν Οὐάλεντα ἐννοεῖ. 348) Ἐξοδ. ιζ'. 8—13. 349) Ὁ τοῦ Ναυῆ.

ἐπτόημενος[550]. Τίς; Δαβίδ, ὁ ψάλλων[551], ὁ πολεμῶν ἐν σφενδόναις[552], καὶ ὁ τοῦ Θεοῦ περιεζωσμένος δύναμιν εἰς πόλεμον, ὁ τοὺς δακτύλους εἰς παράταξιν γυμναζόμενος[553]. Τίς; Σαμουὴλ, καὶ προσευχόμενος τοῦ λαοῦ καὶ προθυόμενος, καὶ χρίων εἰς βασιλέα τὸν νικᾷν δυνάμενον[554]. Τίς θρηνήσει ταῦτα πρὸς ἀξίαν; Ἱερεμίας θρήνους γράφων ὑπὲρ τοῦ Ἰσραήλ. Τίς βοήσεται, «Φεῖσαι Κύριε τοῦ λαοῦ σου καὶ μὴ δῷς τὴν κληρονομίαν σου εἰς ὄνειδος, τοῦ κατάρξαι αὐτῶν ἔθνη»; Τίς περὶ ἡμῶν προσεύξεται; Νῶε, καὶ Ἰὼβ, καὶ Δανιὴλ οἱ συνευχόμενοι καὶ συναριθμούμενοι, ἵνα κοπάσῃ μικρὸν ἡμῖν ὁ πόλεμος, ἵνα γενώμεθα ἡμῶν αὐτῶν, ἵν' ἀλλήλους ποτὲ γνωρίσωμεν, ἵνα μηκέτι ὦμεν ἀνθ' ἑνὸς τοῦ Ἰσραὴλ, καὶ Ἰούδας καὶ Ἰσραὴλ[555], μηκέτι Ῥοβοὰμ καὶ Ἱεροβοὰμ, μηκέτι Ἱερουσαλὴμ καὶ Σαμάρεια, αἱ ἐν μέρει διὰ τὰς ἁμαρτίας παραδιδόμεναι[556] καὶ ἐν μέρει θρηνούμεναι. Ἐγὼ μὲν γὰρ ἀσθενέστερος εἶναι τοῦ πολέμου τούτου ὁμολογῶ, καὶ διὰ τοῦτο ἔδωκα τὰ νῶτα[557], καλύψας τὸ πρόσωπον ἐντροπῇ. Καὶ κατὰ μόνας καθεσθῆναι, ὅτι πικρίας ἐνεπλήσθην, ἐξήτισα καὶ σιωπῆσαι[558], συνιὼν ὅτι ὁ καιρὸς πονηρός ἐστιν, ὅτι ἀπελάκτισαν οἱ ἠγαπημένοι, ὅτι γεγόναμεν υἱοὶ ἀφεστηκότες, ἡ ἄμπελος ἡ εὐκληματοῦσα, ἡ ἄμπελος ἡ ἀληθινή, πᾶσα καρποφόρος, ὡραία πᾶσα, καλῶς ταῖς σταγόσι ταῖς ἄνωθεν ἀνατέλλουσα· ὅτι εἰσεστράφη εἰς ἀτιμίαν ἐμοὶ τὸ διάδημα τοῦ ἐμοῦ κάλλους, τὸ ἀποσφράγισμα τῆς ἐμῆς δόξης, ὁ τῆς καυχήσεως στέφανος. Εἰδέ τις πρὸς ταῦτα τολμηρὸς καὶ γενναῖος, μακάριος οὗτος ἐμοὶ[559] τοῦ θάρσους καὶ τῆς γενναιότητος.

Καὶ οὔπω λέγω τὸν ἔνδον καὶ ἐν ἡμῖν αὐτοῖς, τὸν ἐν τοῖς πάθεσι πόλεμον, ὃν πολεμούμεθα νυκτὸς καὶ ἡμέρας[560] ὑπὸ τοῦ τῆς ταπεινώσεως σώματος, τὰ μὲν κρύβδην, τὰ δὲ φανερῶς, καὶ τῆς[561] ἄνω καὶ κάτω κυμαινούσης ἡμᾶς καὶ στροβούσης διά τε αἰσθήσεως καὶ τῶν ἄλλων τερπνῶν τοῦ βίου τούτου περιφορᾶς, τοῦ τε πηλοῦ τῆς ἰλύος, ᾧ ἐμπεπήγμεθα, καὶ τοῦ νόμου τῆς ἁμαρτίας ἀντιστρατευομένου τῷ νόμῳ τοῦ πνεύματος, καὶ διαφθείρειν ἐπιχειροῦντος τὴν βασιλικὴν ἐν ἡμῖν εἰκόνα, καὶ ὅσον θείας ἀποῤῥοίας ἡμῖν συγκαταβέβληται. Ὡς μόλις ἄν τις ἑαυτόν, ἢ μακρᾷ φιλοσοφίᾳ παιδαγωγήσας, καὶ ἀποῤῥηγνὺς κατὰ μικρὸν τῆς ψυχῆς τὸ εὐγενὲς καὶ φωτοειδὲς τοῦ ταπεινοῦ καὶ τῷ σκότῳ συνεζευγμένου, ἢ Θεοῦ τυχὼν ἵλεω, ἢ καὶ ἄμφω ταῦτα[562], καὶ μελέτην ὅτι μάλιστα ποιούμενος ἄνω βλέπειν, τῆς κατασπώσης ὕλης ἐπικρατήσειε. Πρὶν δὲ ταύτην[563] ὑπερσχεῖν, ὅση δύναμις, καὶ ἀνακαθῆραι ἱκανῶς τὴν διάνοιαν, ὑπέρ τε τοὺς ἄλλους μακρῷ γενέσθαι τῇ πρὸς Θεὸν ἐγγύτητι, ἢ ψυχῶν προστασίαν δέξασθαι[564], ἢ μεσιτείαν Θεοῦ καὶ ἀνθρώπων, (τοῦτο γὰρ ἴσως ὁ ἱερεύς) οὐκ ἀσφαλὲς εἶναι γινώσκω.

---

550) Ἡσ. Ν. ϛ. 13. 551) Βασιλ. Α΄, ιϛ΄, 23. 552) Βασιλ. Α΄, ιζ΄, 49. 553) Ψαλμ. ρμγ΄. 554) Τὸν Δαβίδ. 555) Βασιλ. Γ΄. ιβ΄. 16. Παραλειπ. Γ΄, 16. 556) Τοῖς ἐχθροῖς, τοῖς Ἀσσυρίοις κτλ. 557) Γραφικῶς ἀντὶ Ἔφυγον. 558) Ἐξήτισα, τὸ ὁποῖον ἴσως διορθωτέον Ἐζήτησα· τὰ δὲ ἐφεξῆς ἐπιφερόμενα, ἐκ τοῦ Δευτερον. λβ΄, 11, 13. 559) (Ἐν) Ἐστί, τὸν μακαρίζω. 560) (Διὰ) νυκτὸς κ. ἡμ. 561) (Καὶ ὑπὸ) τῆς. 562) (Ἐνν.) Συνόντα, κατ' ὀνομαστικὴν ἀπόλυτον. 563) Τὴν ὕλην. 564) Τὸ δέξασθαι οὐκ εἶναι ἀσφα(λὲς) τὸ μὲν ὡς ὑποκείμ. τὸ δὲ ὡς ἀντικείμ.

18*

Καὶ ὅθεν εἰς τοῦτο ὑπήχθην τὸ δέος[565]; Ἵνα μή με τοῦ δέοντος δειλότερον ὑπολαμβάνητε, ἀλλὰ καὶ σφόδρα ἐπαινῆτε τῆς προμηθείας. Ἀκούω μὲν αὐτοῦ τοῦ Μωσέως, ἡνίκα ἐχρημάτιζεν αὐτῷ ὁ Θεός, ὅτι πλειόνων εἰς τὸ ὄρος προσκεκλημένων, ὧν εἷς ἦν καὶ Ἀαρὼν, σὺν τοῖς παισὶ τοῖς δύο τοῖς ἱερεῦσι, καὶ ἑβδομήκοντα τῶν πρεσβυτέρων[566] τῆς γερουσίας, οἱ μὲν λοιποὶ προσκυνῆσαι πόῤῥωθεν ἐκελεύσθησαν· ἐγγίσαι δὲ Μωσῆς μόνος, οὐ συναναβῆναι δὲ ὁ λαός, ὡς οὐ πάντων ὄντος[567], Θεοῦ γενέσθαι πλησίον, πλὴν εἴτις κατὰ Μωσέα Θεοῦ χωρῆσαι δόξαν δυνάμενος[568]. Καὶ ἔτι πρὸ τούτων ἐν ἀρχῇ τῆς νομοθεσίας, τοὺς μὲν ἄλλους σάλπιγγες καὶ ἀστραπαὶ, καὶ βρονταὶ, καὶ γνόφος, καὶ ὅλον καπνιζόμενον τὸ ὄρος, καὶ ἀπειλαὶ φρικώδεις, («κἂν θηρίον θίγῃ τοῦ ὄρους, λιθοβοληθήσεται[569]») καὶ ἄλλα τοιαῦτα δείματα ἵστη κάτω· καὶ μέγα ἦν αὐτοῖς, μόνης ἀκοῦσαι τῆς τοῦ Θεοῦ φωνῆς εὖ μάλα ἁγνισαμένοις· Μωσῆς δὲ, καὶ ἄνεισι, καὶ τῆς νεφέλης εἴσω χωρεῖ, καὶ νομοθετεῖται, καὶ δέχεται πλάκας, τοῖς μὲν πολλοῖς τὰς τοῦ γράμματος, τοῖς δὲ ὑπὲρ τοὺς πολλοὺς τὰς τοῦ πνεύματος. Ἀκούω δὲ Ναδὰβ καὶ Ἀβιοὺδ[570], ὅτι ξένῳ πυρὶ θυμιάσαντες μόνον, ξένῳ καὶ ἀνηλώθησαν, κολασθέντες δι' ὧν ἠσέβησαν, καὶ τὸν αὐτὸν εὑρόντες τῆς ἀπωλείας, ὃν καὶ τῆς ἀσεβείας καιρὸν καὶ τόπον· καὶ οὐδὲ Ἀαρὼν ἤρκεσε πρὸς σωτηρίαν αὐτοῖς ὁ πατὴρ, ὁ Μωσέως παρὰ Θεῷ δεύτερος. Γινώσκω δὲ καὶ Ἠλὶ τὸν ἱερέα, καὶ μικρὸν ὕστερον Ὀζὰν, τὸν μὲν[571] ὑπὲρ τῆς τῶν παίδων παρανομίας ἀπαιτηθέντα δίκην, ἣν[572] ἐτόλμων κατὰ τῶν θυσιῶν, πρὸ καιροῦ τῶν λεβήτων ἀπαρχόμενοι, καὶ ταῦτα οὐκ ἀποδεχόμενον αὐτῶν τὴν ἀσέβειαν, ἀλλὰ πολλὰ πολλάκις ἐπιτιμήσαντα· τὸν δὲ[573], ὅτι ψαύσας τῆς κιβωτοῦ μόνον περισπασθείσης ὑπὸ τοῦ μόσχου, τὴν μὲν περιεσώσατο, αὐτὸς δὲ ἀπώλετο, φυλάσσοντος τοῦ Θεοῦ τῇ κιβωτῷ τὸ σεβάσμιον. Οἶδα δ' ἔγωγε μηδὲ τοὺς ἐν τοῖς σώμασι μώμους τῶν ἱερέων ἢ τῶν θυμάτων ἀνεξετάστους μένοντας· ἀλλὰ τελείους τέλεια προσάγειν νενομισμένον[574], σύμβολον οἶμαι τοῦτο τῆς κατὰ ψυχὴν ἀρτιότητος. Μηδὲ στολῆς τῆς ἱερατικῆς, ἢ σκεύους τινὸς τῶν ἁγίων ψαύειν παντὶ θεμιτὸν ὄν[575], μηδὲ τὰς θυσίας αὐτὰς, ὑφ' ὧν καὶ ὅτε καὶ οὗ μὴ καθῆκον ἦν, ἀναλίσκεσθαι· μηδὲ τὸ ἔλαιον ἀπομιμεῖσθαι τῆς χρίσεως, μηδὲ τὸ θυμίαμα τῆς συνθέσεως, μηδὲ εἰς τὸ ἱερὸν εἰσιέναι, ὅστις ἢ ψυχὴν ἢ σῶμα οὐ καθαρὸς μέχρι καὶ τῶν μικροτάτων. Τοσούτου δεῖ εἰς τὰ ἅγια τῶν ἁγίων προσφοιτᾷν θαῤῥοῦντα· ὧν[576] ἑνὶ[577], καὶ ἅπαξ τοῦ ἐνιαυτοῦ μόνον ἐπιβατὸν ἦν. Τοσούτου δεῖ τὸ καταπέτασμα, ἢ τὸ ἱλαστήριον, ἢ τὴν κιβωτὸν, ἢ τὰ Χερουβὶμ, ἢ προσβλέπειν εἶναι παντὸς, ἢ προσάπτεσθαι.

Ταῦτα οὖν εἰδὼς ἐγὼ, καὶ ὅτι μηδεὶς ἄξιος τοῦ μεγάλου καὶ Θεοῦ καὶ θύματος καὶ ἀρχιερέως, ὅς τις μὴ πρότερον ἑαυτὸν παρέστησε τῷ Θεῷ

---

565) Ἐρῶ δὲ ὑμῖν καὶ τὸ ὅθεν (πόθεν) κτλ. 566) (Ἐκ) τῶν πρεσβ. 567) Ὡς τοῦ γενέσθαι πλησίον Θεοῦ, οὐ πάντων ἰδίου ὄντος. 568) (Ἐνν.) ἐστιν. 569) Ἐξοδ. ιθ'. 570) Τοὺς υἱοὺς τοῦ Ἀαρὼν, ἴδε Λευϊτ. Ι', 12. 571) Τοῦ Ἠλὶ, ἴδε Βασιλ. Α', β', 11, δ', 12. 572) Παρανομίαν. 573) Τὸν Ὀζᾶν. Βασιλ. Β', ς', 7. 574) Λευϊτ. ΚΑ', 17, καὶ ΚΒ', 20.

575) Ἀριθμ. δ', 13, 14. ιη', 1, 2. 576) Τῶν Ἁγίων τῶν Ἁγίων. 577) Μόνῳ τῷ Ἀρχιερεῖ, ἴδε Ἐξοδ. Λ', 10. Λευϊτ. ις', 2, 34.

θυσίαν ζῶσαν, ἁγίαν, μηδὲ τὴν λογικὴν λατρείαν εὐάρεστον ἀπεδείξατο, μηδὲ ἔθυσε τῷ Θεῷ θυσίαν αἰνέσεως, πνεῦμα συντετριμμένον[578], ἣν μόνην ὁ πάντα δοὺς ἀπαιτεῖ παρ᾽ ἡμῶν θυσίαν, πῶς ἔμελλον θαῤῥῆσαι προσφέρειν αὐτῷ τὴν ἔξωθεν, τὴν τῶν μεγάλων μυστηρίων ἀντίτυπον; Ἢ πῶς ἱερέως σχῆμα καὶ ὄνομα ὑποδύεσθαι, πρὶν ὁσίοις ἔργοις τελειῶσαι[579] τὰς χεῖρας; πρὶν τὸν ὀφθαλμὸν ἐθίσαι βλέπειν ὑγιῶς τὴν κτίσιν, καὶ εἰς θαῦμα μόνον τοῦ κτίσαντος, ἀλλὰ μὴ ζημίαν τοῦ πλάσαντος[580]; Πρὶν τῇ παιδείᾳ Κυρίου ἱκανῶς ἀνοιχθῆναι τὰ ὦτα, καὶ προστεθῆναί μοι ὠτίον μὴ βαρέως ἀκούειν δυνάμενον, ἀλλ᾽ ἐνώτιον χρυσοῦν σαρδίῳ πολυτελεῖ δεθῆναι[581], λόγον σοφοῦ, εἰς οὖς εὐήκοον[582]. Πρὶν τὸ στόμα, τὰ χείλη, τὴν γλῶσσαν, τὸ μὲν ἀνοιχθῆναι καὶ ἑλκῦσαι πνεῦμα, ἢ πλατυνθῆναι καὶ πληρωθῆναι τῷ[583] πνεύματι λαλουμένων μυστηρίων τε καὶ δογμάτων, τὰ δὲ[584] αἰσθήσει θείᾳ, κατὰ τὴν σοφίαν εἰπεῖν[585], δεθῆναι· προσθείην δ᾽ ἂν ὅτι καὶ ἐν καιρῷ λυθῆναι· τὴν δὲ[586], πλησθῆναι ἀγαλλιάσεως, καὶ θείας μελῳδίας γενέσθαι πλῆκτρον, ἐξεγειρομένην τῇ δόξῃ, συνεξεγειρομένην ὄρθριον, καὶ μέχρι τοῦ κολληθῆναι τῷ λάρυγγι[587] κάμνουσαν; Πρὶν ἐπὶ πέτραν στῆναι τοὺς πόδας μου καταρτισθέντας ὡς ἐλάφων[588], καὶ κατευθῦναί μοι τὰ κατὰ Θεὸν διαβήματα[589], καὶ μὴ παρ᾽ ὀλίγον μηδ᾽ ὅλως ἐκχεόμενα; Πρὶν ἅπαν μέλος ὅπλον γενέσθαι δικαιοσύνης, καὶ ἀποθέσθαι πᾶσαν νεκρότητα[590], καταποθεῖσαν ὑπὸ τῆς ζωῆς, καὶ ὑποχωρήσασαν τῷ πνεύματι;

Τίς, μήπω τοῖς ἁγνοῖς καὶ πεπυρωμένοις τοῦ Θεοῦ λόγοις[591] καεὶς τὴν καρδίαν, ἐν τῷ διανοιχθῆναι αὐτῷ τὰς γραφὰς[592], μηδὲ ἀπογραψάμενος αὐτὰ τρισσῶς[593] ἐπὶ τὸ πλάτος τῆς καρδίας, ὥστε νοῦν ἔχειν Χριστοῦ, μηδὲ τῶν τοῖς πολλοῖς ἀποκρύφων καὶ ἀοράτων καὶ σκοτεινῶν θησαυρῶν εἴσω γενόμενος, ὥστε τὸν ἐν αὐτοῖς κατοπτεῦσαι πλοῦτον, καὶ ἄλλους πλουτίζειν δύνασθαι, πνευματικὰ συγκρίνων πνευματικοῖς; Τίς, μήπω θεωρήσας, ὡς θεωρεῖν ἄξιον, τὴν τερπνότητα Κυρίου, καὶ ἐπισκεψάμενος τὸν ναὸν αὐτοῦ, μᾶλλον δὲ ναὸς γενόμενος Θεοῦ ζῶντος, καὶ ζῶν κατοικητήριον Χριστοῦ ἐν πνεύματι; Τίς, μήπω τύπων καὶ ἀληθείας[594] ἐπιγνοὺς συγγένειαν καὶ διάκρισιν, καὶ τῶν μὲν ἀναχωρήσας, τῇ δὲ προσθέμενος, ἵνα τὴν τοῦ γράμματος φυγὼν παλαιότητα, τῇ καινότητι δουλεύσῃ τοῦ πνεύματος, καὶ μεταβῇ καθαρῶς ἐπὶ τὴν χάριν ἀπὸ τοῦ νόμου[595], πληρουμένου πνευματικῶς ἐν τῇ καταργήσει τοῦ σώματος; Τίς, μήπω διὰ πασῶν ὁδεύσας τῶν τοῦ Χριστοῦ προσηγοριῶν καὶ δυνάμεων, καὶ ἔργῳ καὶ θεωρίᾳ, τῶν τε ὑψηλοτέρων καὶ πρώτων καὶ τῶν δι᾽ ἡμᾶς ταπεινοτέρων καὶ τελευταίων, τοῦ Θεοῦ, τοῦ υἱοῦ, τῆς εἰκόνος, τοῦ λόγου, τῆς σοφίας, τῆς ἀληθείας, τοῦ φω-

---

578) Ψαλμ. ν', 17. 579) Τελειοποιῆσαι. 580) Διορθ. πλάσματος. 581) Παροιμ. Σολ. κέ, 12. 582) Ὡς ἐπεξήγησις τοῦ χρυσοῦ ἐνωτίου. 583) Διορθ. Τῷ ν.
584) Τὰ χείλη. 585) Παροιμ. Σολομ. ιέ, 7. 586) Τὴν γλῶσσαν. 587) Ψαλμ. κά, 15.
588) Ψαλμ. λ', 8. λθ', 2 καὶ ιζ', 34. κέ, 5. 589) Ψαλμ. ριή, 133. 590) Παῦλ. Ἐφεσ. δ', 22—24. 591) «Τὰ λόγια Κυρίου λόγια ἁγνά, ἀργύριον πεπυρωμένον», Ψαλμ.
592) Εὐαγγ. Λουκ. κδ'. 45. 593) Κατὰ γράμμα, ἀναγωγικῶς καὶ ἀλληγορικῶς.
594) Τύποι μὲν ἦσαν τὰ τῆς Παλαιᾶς διαθήκης, ἀλήθεια δὲ τῆς νέας. 595) «Ὅτι ὁ νόμος διὰ Μωσέως ἐδόθη· ἡ χάρις καὶ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο», Ἰωάν. ά 17.

τός, τῆς ζωῆς, τῆς δυνάμεως, τῆς ἀτμίδος, τῆς ἀποῤῥοίας, τοῦ ἀπαυγάσματος, τοῦ ποιητοῦ, τοῦ βασιλέως, τῆς κεφαλῆς, τοῦ νόμου, τῆς ὁδοῦ, τῆς θύρας, τοῦ θεμελίου, τῆς πέτρας, τοῦ μαργαρίτου, τῆς εἰρήνης, τῆς δικαιοσύνης, τοῦ ἁγιασμοῦ, τῆς ἀπολυτρώσεως, τοῦ ἀνθρώπου, τοῦ δούλου, τοῦ ποιμένος, τοῦ ἀμνοῦ, τοῦ ἀρχιερέως, τοῦ θύματος, τοῦ πρωτοτόκου[596] πρὸ κτίσεως, τοῦ πρωτοτόκου ἐκ τῶν νεκρῶν τῆς ἀναστάσεως; Τίς, τούτων τῶν ὀνομάτων τε καὶ πραγμάτων ἐπακούων εἰκῆ, καὶ μήπω κοινωνήσας τῷ λόγῳ, μηδὲ μεταλαβὼν αὐτοῦ, καθ' ὃ τούτων ἕκαστόν ἐστί τε καὶ κέκληται; Τίς, μήπω σχολάσας, μηδὲ μαθὼν λαβεῖν Θεοῦ σοφίαν ἐν μυστηρίῳ τὴν ἀποκεκρυμμένην, ἔτι νήπιος ὤν, ἔτι τρεφόμενος γάλακτι, ἔτι τῶν οὐκ ἀριθμουμένων ἐν τῷ Ἰσραὴλ, οὐδὲ καταλεγομένων εἰς Θεοῦ παράταξιν, μήπω τὸν Χριστοῦ σταυρὸν ὡς ἀνὴρ αἴρειν δυνάμενος, μήπω μηδὲ ἄλλο τι μέλος ὢν ἴσως τῶν τιμιωτέρων, ἔπειτα εἰς κεφαλὴν καταστῆναι Χριστοῦ πληρώματος δέξεται χαίρων καὶ προθυμούμενος; Οὐχ[597] ἐμοί γε κριτῇ καὶ συμβούλῳ· Ἀλλ' οὗτος ὁ φόβων μέγιστος, οὗτος κινδύνων ἔσχατος παντὶ τῷ συνιέντι καὶ τοῦ κατορθουμένου τὸ μέγεθος, καὶ τῆς διαμαρτίας τὸν ὄλεθρον.

Ἄλλος μὲν οὖν πλείτω κατ' ἐμπορίαν, ἔλεγον, καὶ τὰ μακρὰ διαπεραιούσθω πελάγη, καὶ συμφερέσθω τοῖς ἀνέμοις ἀεὶ καὶ τοῖς κύμασι, μεγάλα καὶ κερδήσων, ἂν οὕτω τύχῃ, καὶ κινδυνεύσων, ὅς τις πλευστικώτατος, ἢ ἐμπορικώτατος· ἐμοὶ δ' οὖν αἱρετώτερον ἐπὶ γῆς ἀνέχοντι, βραχεῖαν αὔλακα τέμνοντι καὶ γλυκεῖαν, πόῤῥωθεν ἀσπαζομένῳ κέρδη καὶ θάλασσαν, ζῆν οὕτως, ὅπως ἂν δύνωμαι, σὺν ὀλίγῃ καὶ μικρᾷ τῇ μάζῃ, καὶ βίον ἕλκειν ἀσφαλῆ καὶ ἀκύμαντον, ἢ μακρὸν ἀναῤῥιπτεῖν καὶ μέγαν ἐπὶ μεγάλοις κέρδεσι κίνδυνον. Ὑψηλῷ μὲν γὰρ ζημία τὸ μὴ ἐγχειρεῖν μείζοσι, μηδὲ εἰς πλείους διατείνειν τὴν ἀρετὴν, ἀλλ' ἐπὶ μικρῶν ἵστασθαι, οἷον μεγάλῳ φωτὶ μικρὸν οἶκον αὐγάζοντα, ἢ πανοπλίᾳ νεανικῇ σῶμα παιδικὸν περισκέποντα· μικρῷ δὲ ἀσφάλεια μικρὰ φορτίζεσθαι, ἀλλὰ μὴ, τοῖς ὑπὲρ δύναμιν ἑαυτὸν ὑποτιθέντα, γέλωτά τε ὀφλισκάνειν ὁμοῦ καὶ προστιθέναι τὸν κίνδυνον. Ὥσπερ γε καὶ πύργον οἰκοδομεῖν οὐκ ἄλλῳ τινὶ προσῆκεν, ἢ ὃς ἔχει τὰ πρὸς ἀπαρτισμὸν, ὡς ἠκούσαμεν[598]. Ἔχετε τὴν ἀπολογίαν τὴν ὑπὲρ τῆς φυγῆς, καὶ ἴσως οὐ μετρίαν.

Ἃ μὲν οὖν με ἀφ' ὑμῶν ἀπήγαγεν, ὦ φίλοι καὶ ἀδελφοὶ, λυπηρῶς μὲν ἐμοὶ, καὶ ὑμῖν ἴσως, ἀναγκαίως δ' οὖν, ὡς γοῦν ἐμαυτῷ τότε ἐδόκουν, ταῦτά ἐστιν. Ἐπανήγαγε δὲ μάλιστα μὲν ὁ πρὸς ὑμᾶς πόθος, καὶ τὸ ἀντιποθούντων[599] αἰσθάνεσθαι· οὐδὲν γὰρ οὕτως ἰσχυρὸν πρὸς ἀγάπην, ὡς ἀντιδιδομένη διάθεσις· δεύτερον δὲ ἡ ἐμὴ φροντὶς, τὸ ἐμὸν ἔργον, ἡ τῶν ἱερῶν γονέων πολιὰ καὶ ἀσθένεια, ἐπ' ἐμοὶ πλέον ἢ τῷ χρόνῳ καμνόντων· Ἀβραὰμ[600] τοῦδε τοῦ πατριάρχου, τῆς τιμίας ἐμοὶ κεφαλῆς καὶ μετὰ ἀγ-

---

596) Πρωτότοκος μὲν πρὸ κτίσεως ὁ Θεῖος λόγος, ὡς γεννηθεὶς ἐκ τοῦ Πατρὸς πρὸ πάντων τῶν αἰώνων· πρωτότοκος δὲ ἐκ νεκρῶν, ὡς πρῶτος ἀναστὰς ἵνα μηκέτι ἀποθάνῃ.

597) Οὐ δέξεται οὐδεὶς, ἐμοὶ τοὐλάχιστον κριτῇ καὶ συμβούλῳ χρησάμενος.

598) Εὐαγγ. Λουκ. ιδ', 28. 599) Τὸ αἰσθάνεσθαι καὶ ὑμῶν ἀντιποθούντων ἐμέ.

600) Τὸν πατέρα του ἐννοεῖ ὡς καὶ Σάῤῥαν τὴν μητέρα του, τὴν ἱερὰν Νόνναν.

ΙΩΑΝΝΙΝΑ 2006

γέλων ἀριθμουμένης, καὶ Σάῤῥας τῆς πνευματικῶς ὠδινούσης ἡμᾶς ἐν τῇ διδασκαλίᾳ τῆς πίστεως. Ὧν γενέσθαι βακτηρία τῷ γήρᾳ, καὶ ὑπερείδειν τὴν ἀσθένειαν, τῶν πρώτων[401] εὐχὴν εὐξάμενος, καὶ μέν τοι καὶ πληρώσας ταύτην, ὁπόση δύναμις, ὡς καὶ φιλοσοφίας[402] ὑπεριδεῖν αὐτῆς, τοῦ πάντων ἐμοὶ τιμιωτάτου κτήματος καὶ ὀνόματος ἢ, τόγε ἀληθέστερον εἰπεῖν, τὸ μὴ φιλοσοφεῖν δόξαι πρῶτον φιλοσοφήσας[403], οὐκ ἤνεγκα διαπεσεῖν μοι τὸν μόχθον ἐκ μιᾶς ὑποθέσεως, οὐδὲ καταλυθῆναι τὴν εὐλογίαν, ἣν καὶ κλέψαι τις ἤδη τῶν πάλαι ὁσίων[404] λέγεται, βρώματι τὸν πατέρα καὶ τριχῶν πλάσματι σοφισάμενος, καὶ τὸ καλὸν οὐ καλῶς δι' ἐπιβουλῆς θηρασάμενος. Διὸ μὲν δὴ ταῦτα τῆς ἐμῆς ἥττης[405] καὶ ἡμερότητος αἴτια· καὶ ἴσως οὐκ ἄτοπον ἀμφοτέροις[406] ἐκείνους εἶξαι καὶ ὑποχωρῆσαι τοὺς λογισμούς[407]. Ἐπεὶ καὶ τοῦ νικᾶσθαι καιρὸς, ὥσπερ, οἶμαι, καὶ παντὸς πράγματος[408], καὶ κρεῖττον ἡττᾶσθαι καλῶς, ἢ νικᾷν ἐπισφαλῶς καὶ ἀθέσμως.

Τρίτον δὲ, ὃ καὶ μέγιστον, καὶ δὴ τοῦτο εἰπὼν ἔτι, τὰ λοιπὰ σιωπήσομαι· Ἐμνήσθην ἡμερῶν ἀρχαίων[409], καὶ πρός τινα τῶν παλαιῶν ἱστοριῶν ἀναδραμὼν, ἐκεῖθεν εἵλκυσα συμβουλὴν ἐμαυτῷ πρὸς τὰ παρόντα· μὴ γὰρ εἰκῇ ταῦτα συγγεγράφθαι νομίζωμεν, μηδὲ ὄχλον ἄλλως εἶναι ῥημάτων τε καὶ πραγμάτων, ψυχαγωγίας ἕνεκα τῶν ἀκουόντων συγκείμενα, καὶ οἷον ἀκοῆς τι δέλεαρ, μέχρι τῆς ἡδονῆς ἱστάμενον· ταῦτα μὲν παιζόντων[410] μῦθοι, καὶ Ἕλληνες, οἳ τῆς ἀληθείας ὀλίγα φροντίζοντες, τῷ κομψῷ τῶν πλασμάτων καὶ τῷ λίχνῳ τῶν λέξεων καὶ ἀκοὴν καὶ ψυχὴν γοητεύουσιν. Ἡμεῖς δὲ οἱ καὶ μέχρι τῆς τυχούσης κεραίας καὶ γραμμῆς τοῦ Πνεύματος τὴν ἀκρίβειαν ἕλκοντες, οὔ ποτε δεξόμεθα. Οὐ γὰρ ὅσιον, οὐδὲ τὰς ἐλαχίστας πράξεις εἰκῇ σπουδασθῆναι τοῖς ἀναγράψασι, καὶ μέχρι τοῦ παρόντος μνήμῃ διασωθῆναι· ἀλλ' ἵνα ἡμεῖς ἔχωμεν ὑπομνήματα καὶ παιδεύματα τῆς τῶν ὁμοίων, εἴποτε συμπέσοι καιρὸς, διασκέψεως· ὥστε τὰ μὲν φεύγειν, τὰ δὲ αἱρεῖσθαι, οἷον κανόσι τισὶ καὶ τύποις τοῖς προλαβοῦσιν ἑπόμενοι παραδείγμασι. Τίς οὖν ἡ ἱστορία, καὶ πόθεν ἡ συμβουλή; Οὐδὲν γὰρ χεῖρον ἴσως ἀσφαλείας ἕνεκα τῶν πολλῶν διελθεῖν. Ἔφυγε καὶ Ἰωνᾶς ἀπὸ προσώπου τοῦ Θεοῦ[411], μᾶλλον δὲ φεύγειν ᾤετο· ἀλλὰ κατελήφθη πελάγει, καὶ χειμῶνι, καὶ κλήρῳ, καὶ γαστρὶ κήτους, καὶ τριημέρῳ ταφῇ τύπον ἐχούσῃ μυστηρίου μείζονος. Ἀλλ' ἐκεῖνος μὲν[412], ἵνα μὴ τὴν σκυθρωπὴν καὶ ἄτοπον ἀγγελίαν ἀγγείλῃ τοῖς Νινευΐταις, καὶ μετὰ τοῦτο ψεύστης ἁλῷ, σωθείσης τῇ μετανοίᾳ τῆς πόλεως· οὐ γὰρ τῇ σωτηρίᾳ τῶν πονηρῶν ἐδυσχέραινεν, ἀλλὰ τὴν διακονίαν τοῦ ψεύδους ᾐσχύνετο· καὶ οἷον ἐζηλοτύπει τῆς προφητείας τὸ ἀξιόπιστον, ὅπερ ἐν αὐτῷ καταλυθῆναι κίνδυνος ἦν, οὐ δυναμένων τῶν πολλῶν συνιδεῖν τῆς τοῦ Θεοῦ περὶ ταῦτα οἰκονομίας τὸ βάθος.

---

401) Μίαν (ἐκ) τῶν πρώτων. 402) Τῆς ἐν Χριστῷ, τοῦ ἐρημικοῦ δηλ. βίου, ὃν ἠρετίσατο.
403) Τοῦτο πρῶτον φιλοσοφήσας τὸ μὴ δόξαι φιλοσοφεῖν. 404) Ὁ Ἰσαὰκ, ἀπατήσας τὸν πατέρα αὐτοῦ Ἰακὼβ, καὶ λαβὼν τὴν εὐλογίαν τοῦ πρωτοτόκου, ἴδε Γενέσ. κζ'.
405) Ἴδε τὴν ἀρχὴν τοῦ λόγου. 406) Τοῖς δυσὶ τούτοις αἰτίοις. 407) Τοὺς περὶ ἀναχωρήσεως. 408) «Καιρὸς παντὶ πράγματι ὑπὸ τὸν οὐρανόν», Σοφ. Σολομ. 409) Ψαλμ. οϛ', ϛ'.
410) Ἀντὶ Παιζέτωσαν, γ'. πληθ. προσ. τοῦ ἐνεστ. τῆς προστακτ. 411) Ἰων. Α' καὶ Β'.
412) (Ἐνν. ἀπὸ κοινοῦ τὸ) Ἔφυγεν, ἵνα κτλ.

Ὡς δὲ ἐγώ τινος ἤκουσα σοφοῦ περὶ ταῦτα ἀνδρός, οὐκ ἀτόπως βοηθοῦντος τῷ φαινομένῳ τῆς ἱστορίας ἀτόπῳ, καὶ ἱκανοῦ καταλαβεῖν ἀνδρὸς προφήτου βαθύτητα, οὐδὲ ταῦτα ἦν, ἃ τὸν μακάριον Ἰωνᾶν ἐποίει φυγάδα, καὶ εἰς Ἰόππην ἤγαγε, καὶ ἐξ Ἰόππης ἀνήγαγεν εἰς Θαρσεῖς[440], πελάγει πιστεύσαντα τὴν ἑαυτοῦ κλοπήν· οὔτε γὰρ ἀγνοεῖν τοῦ Θεοῦ τὴν ἐπίνοιαν, προφήτην γε ὄντα, εἰκὸς αὐτὸν ἦν, ὅτι διὰ τῆς ἀπειλῆς τὸ μὴ παθεῖν τὰ τῆς ἀπειλῆς Νινευΐταις ἐπραγματεύετο, κατὰ τὴν μεγάλην αὐτοῦ σοφίαν, καὶ κατὰ τὰ ἀνεξερεύνητα αὐτοῦ κρίματα, καὶ τῶν ὁδῶν αὐτοῦ τὸ ἀνεξιχνίαστόν τε καὶ ἀκατάληπτον· οὔτ᾽, εἴπερ ἠπίστατο, μὴ ἀκολουθῆσαι,[441] Θεῷ, δι᾽ οὗπερ ἐβούλετο τρόπου τὴν σωτηρίαν ἐκείνοις μηχανωμένῳ· τὸ δὲ δὴ καὶ οἴεσθαι, ὡς ἀποκρύψειν ἑαυτὸν τῷ πελάγει ἤλπισεν Ἰωνᾶς, καὶ τὸν μέγαν ὀφθαλμὸν τοῦ Θεοῦ διαλήσεσθαι τῇ φυγῇ, μὴ καὶ παντελῶς ἄτοπον ᾖ καὶ ἀπαίδευτον, καὶ οὐχ ὅπως περὶ προφήτου πιστεύεσθαι δίκαιον, ἀλλ᾽ οὐδὲ περὶ ἄλλου τινὸς τῶν νοῦν ἐχόντων, καὶ μετρίως αἰσθανομένων Θεοῦ, καὶ τῆς ὑπὲρ πάντα δυνάμεως· ἀλλ᾽ ᾔδει μὲν τοῦτο παντὸς μᾶλλον ὁ Ἰωνᾶς, φησὶν ὁ τὸν λόγον εἰπών, καὶ ἐγὼ πείθομαι, εἰς ὅ,τι ἔφερε[442] τοῖς Νινευΐταις τὸ κήρυγμα, καὶ ὅτι τὸν δρασμὸν βουλεύων, τόπον μὲν ἤμειβε, Θεὸν δὲ οὐκ ἔφευγεν· οὐδὲ γὰρ ἄλλος τις ἀνθρώπων, οὐ γῆς ἑαυτὸν κατακρύψας κόλποις[443], οὐ θαλάσσης βάθεσιν, οὐ πτεροῖς κουφισθείς, εἴ τις ἐπίνοια, καὶ ἀναδραμὼν εἰς ἀέρα, οὐχ ᾅδου τοῖς κατωτάτω προσομιλήσας, οὐ νέφους παχύτητα περιβαλόμενος, οὐκ ἄλλο τῶν ἁπάντων οὐδὲν εἰς ἀσφάλειαν τοῦ δρασμοῦ βουλευσάμενος· ἀλλὰ τοῦτο μόνον τῶν πάντων ἀφευκτότατόν τε καὶ ἀμαχώτατον, Θεὸς κατασχεῖν καὶ ὑπὸ χεῖρα λαβεῖν θελήσας· φθάνει τοὺς ταχεῖς, σφάλλει τοὺς συνετούς, περιτρέπει τοὺς ἰσχυρούς, συστέλλει τοὺς ὑψηλούς, ἡμεροῖ θράσος, πιέζει δύναμιν· οὐ τοίνυν ἠγνόει τοῦ Θεοῦ τὴν κραταιὰν χεῖρα ὁ τοῖς ἄλλοις ταύτην ἀπειλῶν Ἰωνᾶς· οὐδὲ ὡς φευξόμενος εἰς ἅπαν διενοεῖτο τὸ θεῖον· μὴ τοῦτο πιστεύσωμεν· ἀλλ᾽ ἐπειδὴ τὴν ἔκπτωσιν ἑώρα τοῦ Ἰσραήλ, καὶ μεταβαίνουσαν εἰς τὰ ἔθνη τὴν προφητικὴν χάριν ᾐσθάνετο, διὰ τοῦτο ὑποχωρεῖ τῷ κηρύγματι, καὶ ἀναβάλλεται τὸ ἐπίταγμα, καὶ τὴν κατασκοπὴν τῆς χαρᾶς ἀφείς, (τοῦτο γὰρ Ἑβραίοις ἡ Ἰόππη δύναται[444].) τὸ παλαιὸν ὕψος[445] λέγω καὶ τὸ ἀξίωμα, καὶ τὸ τῆς λύπης ἑαυτὸν ἔῤῥιψε πέλαγος. Καὶ διὰ τοῦτο χειμάζεται, καὶ καθεύδει, καὶ ναυαγεῖ, καὶ ἐξυπνίζεται, καὶ κληροῦται, καὶ ὁμολογεῖ τὴν φυγήν, καὶ καταποντίζεται, καὶ ὑπὸ τοῦ κήτους καταπίνεται μέν, οὐκ ἀναλίσκεται δέ· ἀλλ᾽ ἐκεῖ τὸν Θεὸν ἐπικαλεῖται, καὶ τὸ θαῦμα! Χριστῷ τριήμερος συνεκδίδοται[446].

Ἀλλ᾽ ὁ μὲν περὶ τούτου λόγος ἀναμεινάτω μικρὸν ὕστερον, ἣν διδῷ Θεὸς φιλοπονώτερον ἐξεργασθησόμενος· νῦν δέ, ὅ μοι λέγειν ὁ λόγος ὡρμήθη, σκοπεῖν ἔπεισί μοι καὶ ὑπολαμβάνειν, ὅτι ἐκείνῳ μὲν τάχα τι καὶ

---

440) Εἰς τὴν Ταρσόν. 441) (Ἀπὸ κοινοῦ τὸ) Εἰκὸς ἦν. 442) Ἐπεξήγησις τοῦ Τοῦτο. 443) (Ἐν κόλποις. 444) Σημαίνει ἡ λέξις Ἰόππη (παρὰ τοῖς) Ἑβραίοις. 445) Ἡ ἀναγωγικὴ ἔννοια τῆς Κατασκοπῆς (σκοπιᾶς, βίγλας). 446) Ἀναδίδοται ὁμοίως ἀπὸ τῆς κοιλίας τοῦ κήτους, ὡς ὁ Χριστὸς ἐκ τοῦ τάφου.

συγγνώμης ἦν, δι' ἣν εἶπον αἰτίαν, ὀκνοῦντι τὴν προφητείαν· ἐμοὶ δὲ, τίς ἄρα λόγος, ἢ τίς ἀπολογίας ὑπελείπετο τόπος ἐπὶ πλέον ἀγωνιάζοντι, καὶ τὸν, οὐκ οἶδ' εἴτε ἐλαφρὸν, εἴτε βαρὺν εἰπεῖν χρὴ, ἀλλὰ τόν γε τεθέντα ζυγὸν τῆς λειτουργίας ἀναινομένῳ; Εἰ γὰρ ὃ μόνον ἐν τούτοις ἰσχυρόν ἐστιν εἰπεῖν, τοῦτο δοίη τις, ὅτι πολλῷ κατωτέρω κείμεθα τοῦ ἱερατεύειν Θεῷ, καὶ ὅτι τῆς Ἐκκλησίας ἄξιον εἶναι χρὴ πρῶτον, εἶτα τοῦ βήματος καὶ τούτου[420] πρῶτον, εἶτα τῆς προεδρείας· τάχα ἕτερος ἡμᾶς οὐκ ἀφήσει τοῦ τῆς ἀπειθείας ἐγκλήματος. Δεινὴ δὲ ἀπειθείας ἀπειλὴ, καὶ δεινὰ ταύτης τὰ ἐπιτίμια· ὥσπερ γε καὶ τῆς ἑτέρας μερίδος[421], μηδὲ ὀκνεῖν, μηδὲ ἀναδύεσθαι, μηδὲ ὥσπερ ὁ Σαοὺλ ἐκεῖνος τοῖς σκεύεσιν ὑποκρύπτεσθαι τοῖς πατρικοῖς[422], κἂν πρὸς ὀλίγον, καλούμενον ἐπὶ προστασίαν· ἀλλ' ὡς ἐπί τι πρᾶγμα κοῦφον καὶ ῥᾷστον χωρεῖν ἑτοίμως, οὗ μηδὲ μεταθέσθαι ἀσφαλὲς, μηδὲ βουλῇ δευτέρᾳ θεραπεῦσαι τὴν προλαβοῦσαν.

Διὰ τοῦτο ἔκαμνον ἐγὼ τοῖς λογισμοῖς τὸ δέον ἀνερευνώμενος, καὶ μέσος δύο φόβων ἱστάμενος, τοῦ τε κατασπῶντος καὶ τοῦ ἀνάγοντος[423]. Καὶ ἐπὶ πλεῖστον τούτοις ἐναπορήσας, καὶ ἀμφοτέρωθεν ἐμαυτὸν ταλαντεύσας, ἢ, ὥσπερ ῥεῦμα ἀστάτοις πνεύμασι τῇ δε κἀκεῖσε μετακλιθεὶς, τέλος ἐγενόμην τοῦ σφοδροτέρου· καί με νικήσας ἔχει παρασύρας ὁ φόβος τῆς ἀπειθείας. Καὶ σκοπεῖτε ὡς ὀρθῶς καὶ δικαίως διαιτῶ[424] τοῖς φόβοις, μήτε τῆς οὐ διδομένης ἐφίεσθαι[425] προστασίας, μήτε ἀπωθεῖσθαι τὴν διδομένην· τὸ μὲν γὰρ εἶναι θρασέων, τὸ δὲ ἀπειθῶν, καὶ ἀπαιδεύτων ἀμφότερα· καὶ μέσος εἰμί τις τῶν τε ἄγαν τολμηρῶν καὶ τῶν λίαν δειλῶν· τῶν μὲν πάσαις[426] ἐπιπηδώντων δειλότερος, τῶν δὲ φευγόντων πάσας θαῤῥαλεώτερος. Οὕτως ἐγὼ περὶ τούτων γινώσκω! Καὶ ἔτι διελέσθαι[427] σαφέστερον· τῷ μὲν φόβῳ τῆς προστασίας τάχα ἂν βοηθήσειε καὶ ὁ νόμος τῆς εὐπειθείας, τοῦ Θεοῦ τὴν πίστιν ἀμειβομένου διὰ τῆς ἑαυτοῦ χρηστότητος, καὶ εἰς προστάτην τέλειον καταρτίζοντος τὸν αὐτῷ θαῤῥήσαντα, καὶ πάσας θέμενον ἐπ' αὐτὸν τὰς ἐλπίδας· τῷ δὲ κινδύνῳ τῆς ἀπειθείας, οὐκ οἶδα τίς ἔσται ὁ βοηθῶν, ἢ τίς ὁ θαῤῥεῖν διακελευόμενος λόγος. Φόβος γὰρ[428], μὴ τοῦτό γε ἀκούσωμεν, περὶ ὧν ἐπιστεύθημεν, ὅτι «τὰς ψυχὰς αὐτῶν ἐκ τῶν χειρῶν ὑμῶν ἐκζητήσω[429]»· καὶ «καθὼς ἀπώσασθέ με τοῦ εἶναι εἰς ἡγουμένους τοῦ λαοῦ μου καὶ ἄρχοντας, οὕτω κἀγὼ ἀπώσομαι ὑμᾶς τοῦ εἶναι ὑμῖν εἰς βασιλέα[430]»· καὶ «καθὼς οὐκ εἰσηκούσατε τῆς φωνῆς μου, ἀλλ' ἐδώκατε νῶτον σκληρὸν, καὶ ἠπειθήσατε· οὕτως ἔσται, ὅταν ἐπικαλέσησθέ με· ἐγὼ δὲ οὐκ ἐπιβλέψω ἐπὶ τὴν προσευχὴν ὑμῶν, οὐδ' εἰσακούσομαι[431]». Ταύτας μὴ γένοιτο ἐλθεῖν ἡμῖν παρὰ τοῦ δικαίου κριτοῦ τὰς φωνὰς, ᾧ κἂν τὸν ἔλεον ᾄδωμεν, ἀλλὰ καὶ τὴν κρίσιν γε πάντως συνᾴδομεν[432].

---

420) Τοῦ βήματος, τῆς ἱερωσύνης. 421) Δεινὰ ἐπίσης εἶσὶ καὶ ταύτης τὰ ἐπιτίμια, τοῦ μηδὲ ὀκνεῖν δηλονότι, μηδὲ ἀναδύεσθαι κτλ. Ἀλλὰ χωρεῖν ἑτοίμως. 422) Ἴδε Βασιλ. Α', ι', 17—23. 423) Τοῦ μὲν περὶ τοῦ μεγέθους τοῦ ἔργου, κατασπῶντος· τοῦ δὲ τῆς ἀπειθείας, ἀνάγοντος. 424) Διακρίνω. 425) (Ὥστε) ἐφίεσθαι. 426) Ταῖς προστασίαις.
427) (Ὥστε) διελέσθαι. 428) (Ἐνν.) ἐστί. 429) Ἰεζεκ. γ', 17—19. 430) Βασιλ. Α', η', 7, 8. ι', 18, 19. 431) Δευτερονομ. λ', 20, 21. 432) Κατὰ τὸ «Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι Κύριε», Ψαλμ. ς', καὶ Ἱερεμ. ι'. 24

Ἀλλὰ γὰρ πάλιν ἐπὶ τὴν ἱστορίαν φέρομαι, καὶ τῶν παλαιῶν τοὺς εὐδοκιμωτάτους ἀνασκοπῶν, εὑρίσκω ὅσους πώποτε εἰς ἐπιστασίαν ἢ προφητείαν ἡ χάρις προὐβάλετο, τοὺς μὲν εἴξαντος προθύμως τῇ κλήσει, τοὺς δὲ ἀναβαλλομένους τὸ χάρισμα, καὶ οὐδετέρων μεμπτήν, οὔτε τῶν ὑποχωρησάντων τὴν δειλίαν, οὔτε τῶν ὁρμησάντων τὴν προθυμίαν. Οἱ μὲν γὰρ τῆς διακονίας τὸ μέγεθος ηὐλαβήθησαν, οἱ δὲ τῷ καλοῦντι πιστεύσαντες ἠκολούθησαν. Πρόθυμος ἦν Ἀαρὼν[433], ἀλλὰ Μωσῆς ἀπεμάχετο[434]· ὑπήκουσεν Ἡσαΐας ἑτοίμως[435], ἀλλ' ἐπεδόκει τὸ νέον Ἱερεμίας[436], καὶ οὐ πρότερον τὴν προφητείαν ἐθάῤῥησεν, ἢ παρὰ Θεοῦ λαβεῖν καὶ ὑπόσχεσιν καὶ δύναμιν τῆς ἡλικίας κρείττονα. Τούτοις ἐμαυτὸν ἐγὼ κατεπᾴδω τοῖς λογισμοῖς, καί μοι κατὰ μικρὸν εἴκει τε καὶ μαλάσσεται, ὥσπερ σίδηρος, ἡ ψυχή· καὶ συνεργὸν λαμβάνω τῶν λογισμῶν τὸν χρόνον· καὶ συμβουλίαν τὰ τοῦ Θεοῦ δικαιώματα, οἷς πᾶσαν τὴν ἐμαυτοῦ ζωὴν κατεπίστευσα. Διὰ τοῦτο «οὐκ ἀπειθῶ, οὐδὲ ἀντιλέγω», φησὶν ὁ ἐμὸς δεσπότης[437], οὐκ ἐπὶ προστασίαν καλούμενος, ἀλλ' ὡς πρόβατον ἐπὶ σφαγὴν ἀγόμενος· ἀλλὰ καὶ προσπίπτω καὶ ταπεινοῦμαι ὑπὸ τὴν κραταιὰν τοῦ Θεοῦ χεῖρα, καὶ συγγνώμην αἰτοῦμαι τῆς πρὶν ἀργίας καὶ ἀπειθείας, εἴ τί μοι τοῦτο ἔγκλημα. Ἐσιώπησα μέν, ἀλλ' οὐκ ἀεὶ σιωπήσομαι· ὑπεχώρησα μέν τι μικρόν, ὅσον ἐμαυτὸν ἐπισκέψασθαι, καὶ τῇ λύπῃ δοῦναι παράκλησιν· ἀλλὰ νῦν ὑψοῦν αὐτὸν ἐν Ἐκκλησίᾳ λαοῦ καὶ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεῖν[438] ἐδεξάμην· εἰ ἐκεῖνα κατηγορίας, ταῦτα συγγνώμης ἄξια.

Τί δεῖ μακροτέρων ἡμῖν τῶν λόγων; Ἔχετε ἡμᾶς, ὦ ποιμένες καὶ συμποιμένες· ἔχετε, ὦ ποίμνιον ἱερὸν καὶ Χριστοῦ τοῦ ἀρχιποίμενος ἄξιον· ἔχεις, ὦ πάτερ, εἰς πάντα νενικημένον, καὶ κατὰ τοὺς τοῦ Χριστοῦ νόμους πλέον, ἢ κατὰ τοὺς ἔξωθεν ὑπεξούσιον· ἔχεις τὴν εὐπείθειαν, ἀπόδος τὴν εὐλογίαν· χειραγώγησον καὶ σὺ ταῖς εὐχαῖς, ὁδήγησον τῷ λόγῳ, τῷ πνεύματι στήριξον. «Εὐλογία πατρὸς στηρίζει οἴκους τέκνων.» Καὶ στηριχθείημεν ἐγώ τε καὶ ὁ οἶκος οὗτος, ὃν ᾑρετισάμην[439], ὅν μοι καὶ γενέσθαι κατάπαυσιν εἰς αἰῶνα εὔχομαι, ἀπὸ τῆς ἐντεῦθεν Ἐκκλησίας ἐπὶ τὴν ἐκεῖσε παραπεμφθέντι, καὶ πανήγυριν πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς. Ἡ μὲν δὴ πρεσβεία[441] τοσαύτη, καὶ οὕτως εὔλογος· ὁ δὲ Θεὸς τῆς εἰρήνης, ὁ ποιήσας τὰ ἀμφότερα ἓν[442], καὶ ἀποδοὺς ἡμᾶς ἀλλήλοις· ὁ καθίζων βασιλεῖς ἐπὶ θρόνων, καὶ ἀπὸ γῆς ἐγείρων πτωχόν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα· ὁ ἐκλεξάμενος Δαβὶδ τὸν δοῦλον αὐτοῦ, καὶ ἀναλαβὼν ἐκ τῶν ποιμνίων τῶν προβάτων, ἐλάχιστον ὄντα ἐν τοῖς υἱοῖς Ἰεσσαὶ καὶ νεώτατον· ὁ διδοὺς ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ, πρὸς τὴν τοῦ Εὐαγγελίου τελείωσιν, αὐτὸς κρατήσειε τῆς χειρὸς ἡμῶν τῆς δεξιᾶς, καὶ ἐν τῇ βουλῇ αὐτοῦ ὁδηγήσειε, καὶ μετὰ δόξης προσλάβοιτο, ποιμένων ποιμαίνοντας, καὶ ὁδηγῶν ὁδηγοῦντας· ὡς ἂν ποιμαίνοιμεν τὸ ποίμνιον αὐτοῦ

---

433) Ἐξοδ. δ', 2. 434) Ἐξοδ. γ', δ', 13. 435) Ἡσ. ς', 8. 436) Ἱερεμ. α', 6. 437) Ἡσ. νγ', 7. 438) Ψαλμ. ρς', 32. 439) Σειράχ. γ', 9. 440) Ἡ ἐπισκοπὴ τῶν Σασίμων, εἰς ἣν εἶχεν ἐκλεχθῇ. 441) Δέησις, ἱκεσία. 442) Παῦλ. Ἐφεσ. β', ι', 13.

μετ' ἐπιστήμης, ἀλλὰ μὴ ἐν σκεύεσι ποιμένος ἀπείρου· τὸ μὲν, ἐν εὐλογίᾳ, τὸ δὲ, ἐν κατάρᾳ τοῖς πάλαι κείμενον. Αὐτὸς δοίη ἡμῖν δύναμιν, καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ, καὶ παραστήσειεν αὐτὸς ἑαυτῷ λαμπρὰν τὴν ποίμνην καὶ ἄσπιλον, καὶ τῆς ἄνω μάνδρας ἀξίαν, ἐν τῇ κατοικίᾳ τῶν εὐφραινομένων, ἐν τῇ τῶν ἁγίων λαμπρότητι. Ὡς ἂν ἐν τῷ ναῷ αὐτοῦ πάντες λέγωμεν δόξαν, ποίμνη τε ὁμοῦ καὶ ποιμένες, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

# ΣΤ'. ΑΙΣΧΙΝΟΥ

## ΕΚ ΤΩΝ ΕΠΙΣΤΟΛΩΝ.

Αἰσχίνης Ἀτρομήτου, ῥήτωρ Ἀθηναῖος, ἀκμάζων ἐπὶ Φιλίππου, μαθητὴς τοῦ Πλάτωνος ἢ τοῦ Ἰσοκράτους, ἀντεπολιτεύετο κατὰ τοῦ Δημοσθένους, καὶ κατηγορηθεὶς ὑπ' αὐτοῦ ὡς φιλιππίζων, ἐξωρίσθη. Ἐλθὼν δὲ εἰς Ῥόδον ἐσύστησεν ἐκεῖ σχολὴν ῥητορικῆς καὶ ἀπέθανεν εἰς Σάμον προβεβηκώς. Σώζονται δὲ αὐτοῦ τρεῖς ἐκτεταμένοι λόγοι καὶ τινὲς ἐπιστολαὶ τὰς ὁποίας ἔγραψεν ἐπὶ τῆς ἀποδημίας του.

### Α'. ΦΙΛΟΚΡΑΤΕΙ.

ΛΥΣΑΝΤΕΣ[1] ἐκ Μουνυχίας[2] ἑσπέρας, λαμπρῷ[3] σφόδρα Σκίρωνι[4], περὶ μέσην ἡμέραν κατήχθημεν εἰς Νηρησσὸν[5] τὴν Κείων. Καθίσαντες δὲ ἡμέρας ἐννέα· σκαιὸς[6] γὰρ ἦν ὁ ἄνεμος· εἶτα πάλιν λύσαντες, ἅμα τῇ ἕῳ εἰς Δῆλον ἤλθομεν. Δήλιοι δὲ ἐνόσουν λοιμώδη τινὰ νόσον. Τὰ μὲν πρόσωπα ἐπίμπλαντο λεύκης[7], καὶ τὰς τρίχας λευκοὶ ἐγίνοντο, ὁ δὲ τράχηλος αὐτῶν καὶ τὰ στέρνα ἀνῴδει[8]· πυρετοὶ δ' οὐκ ἐγίγνοντο, οὐδὲ ἀλγηδόνες μεγάλαι, οὐδὲ τὰ κάτω μέρη παρήλλαττεν[9] οὐδέν· ταῦτα δὲ ἐτίθεντο[10] κατὰ μῆνιν Ἀπόλλωνος αὐτοῖς συμβεβηκέναι, ταφέντος ἐν τῇ νήσῳ τινὸς τῶν ἐπιφανῶν, οὐ πρότερον εἰωθός[11]· ἐκ τούτου οὖν προσβαλεῖν αὐτοῖς τὸν θεὸν τὴν νόσον ταύτην ὑπελάμβανον. Ἡμεῖς δὲ, ὥσπερ ὥς τι[12] ἔθνος ἀλλόφυλον, ἢ νῆσον ἐν τῇ ἔξω θαλάττῃ[13] ἀφιγμένοι, καὶ ἰδόντες ἐξαίφνης χρῆμα ποικίλον ἀνθρώπων[14], ταχὺς ἔτι ἀποφεύγοντες ᾠχόμεθα, πυνθανόμενοι ἀλλήλων κατὰ τὸν πόρον[15], τί τὸ χρῶμα ἔχοι ἕκαστος, οἷον ἐκόμιζεν οἴκοθεν, καὶ τὰς τρίχας. Ζάλη δὲ καὶ ἄνεμος ἐξώστης[16] ἐμπεσὼν ἀπήνεγκεν ἡμᾶς ὑπὲρ Κρήτην, πλησίον Ψα-

---

1) Τὰ ἀπόγεια (ἐννοεῖται) πρυμνήσια σχοινία. 2) Λιμὴν τῶν Ἀθηνῶν. 3) Σφοδρῷ.
4) Βορειοδυτικὸς ἄνεμος, πνέων ἀπὸ τὰς Σκιρωνίας πέτρας, τὴν Κακιὰν Σκάλαν.
5) Ἴσως Κορησσὸν, διότι ἡ Κορησσὸς ἦτον πόλις τῆς Κέω. 6) Κακὸς, ὄχι δεξιός. Ἡ φράσις αὕτη διὰ μέσου. 7) Ἀλφοῦ, εἶδος λευκοῦ ἐξανθήματος (λειχῆνος). 8) Ἀνῳδέω.
9) Διέφερον ἀπὸ τὴν παλαιάν των κατάστασιν. 10) Ὑπελάμβανον. Ἴσως ὅμως γραπτέον Ἐπείθοντο. 11) Τὸ θάπτειν ἐκεῖ. Κ. §. 430, β'. 12) Εἴς τι. 13) Τῷ ὠκεανῷ.
14) Χρῆμα ἀνθρώπων, περιφρ. ἀντί: ἀνθρώπους. 15) Εἰς τὸν πλοῦν. 16) Ἄνεμος σύρων τὰ πλοῖα ἐκτὸς τὸν δρόμον των.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ... ΕΡΓΑΣΤΗΡΙΟ ... ΙΩΑΝΝΙΝΑ 2006

μαθοῦντος[17]. Ὡς δὲ ἐν ἀπόπτῳ ἦμεν ἤδη[18], ἀντιπνεῖ πνεῦμα Λιβυκόν[19]. Εἶτα πνεύσαντος ἡμῖν ἀπαρκτίου[20], πάλιν ἐφερόμεθα πέντε νύκτας ἐν θαλάττῃ γενόμενοι[21], ἐν αἷς προσέσχομεν Ἀθρώνῃ[22]· ἵνα μάθωμεν μὴ πολυπραγμονεῖν, εἴ τις ἐν τῇ ἑαυτοῦ πατρίδι κατὰ τοὺς νόμους, ἢ μὴ, στεφανοῦται[23]. Κἀκεῖθεν τέτταρσιν ἡμέραις, ἀφικόμεθα εἰς ἐπίνειόν τι τῆς Ῥοδίας[24]· ὅπου νοσῆσαί μοι συνέβη τὴν περὶ τὸ ἆσθμα νόσον. Ὡς δὲ ἐπιμείναντός μου αὐτόθι, οὐκ ἐνεδίδου[25] ἡ νόσος, διέπλευσα εἰς Ῥόδον, καὶ ἐδέξατο ἡμᾶς εὐμενῶς ὁ τόπος· εὐθὺς γὰρ, ὡς διέβην, πολὺ ῥάων[26] ἐγενόμην. Καὶ ταυτὶ μὲν εἴχομέν σοι τέως ἐπιστέλλειν· τὰ δ' ἄλλα ὡς ἂν ἕκαστα συμβαίνοι, δηλώσομεν. Εὐτύχει, καὶ μὴ πρόσκρουε μήτε τοῖς πλέον σου, μήτε τοῖς ἔλαττον δυναμένοις.

## Β'.

Ὁ μὲν Ἰουλιάδης, ᾧ μάλιστ' ἐπεποίθεις[27], οὔτε, ὅτε ἀφίγμεθα εἰς Ῥόδον, παρὼν ἔτυχεν, ἀλλὰ περὶ Λίνδον[28] ἦν· οὔτε ἐπανελθὼν εἰς Ῥόδον περιττῶς ἠσμένισεν[29] ἡμᾶς, ἔξω δὴ τοῦ τὰ κοινὰ ταῦτα, προστάξαι, λέγειν[30], εἴ τινων χρῄζομεν. Ὁ δὲ Κλεοκράτης, οὐδὲ, μὰ τοὺς θεούς, ἐπιστεῖλαί σοι δυναίμην ἂν αὐτάρκως τὴν ὑπερβολὴν τῆς φιλανθρωπίας, ὅσῃ κέχρηται περὶ ἐμέ· καὶ γὰρ οἰκίαν παρεσκεύασέ[31] μοι δημοσίᾳ δοθῆναι, καὶ χωρίον ἐν Καμείρῳ[32], καὶ αὐτὸς δὲ ἔπεμψεν ἡμῖν τὰ ἐπιτήδεια, καὶ εἰς ἐνιαυτὸν ἄφθονα, οὐκ ἐμοὶ μόνον, ἀλλὰ καὶ Τέθραυντι καὶ Ὀπλιστίῳ[33]· καὶ τὰ μὲν ἄλλα εἰ καὶ φαυλότερα τῶν Ἀθήνησιν, ὥσπερ ἔλαιον καὶ μέλι, ἀλλ' οἵων παρόντων[34] οὐδὲν ἂν τῶν ἐκεῖ δεηθείημεν· οἶνόν γε μὴν καὶ πολὺ ἀμείνω τοῦ παρ' ὑμῖν, καὶ ἐκ στροβίλου[35] ἅμα καὶ ἀλεύρων καὶ ἀρωμάτων πεποιημένα ἐν τύποις[36] τραγήματα, ὧν καὶ πέπομφά σοι. Ταῦτα δ' ἡμῖν ἔπεμψε, καὶ πυρῶν μεδίμνους, ὅσοις ἐγὼ μεδίμνοις οὐχ ὅπως[37] ἐμαυτὸν, ἀλλὰ καὶ πάντας Κοθωκίδας[38] διαρκεῖν[39] ἂν ἠδυναίμην· καὶ πολλὰ δὲ ἄλλα πρὸς τούτοις, ἃ γράφειν αἰσχύνομαι, ἵνα μή τινα δηλοῦν ἐμὴν μικρολογίαν δόξω. Τὸ μὲν γὰρ τὰ μικρὰ πάνυ ὑπερασπίζεσθαι, μικρολογίας μέν τινος εἶναί φημι καὶ ἀπειροκαλίας· φιλοφρονημάτων δὲ καὶ μικρῶν πάνυ ἔγωγε ἡττᾶσθαι[40] ὁμολογῶ. Παρέχει δὲ ἡμῖν καὶ ἄλλα κάλλιω, συῶν τε ἀγρίων καὶ δορκάδων τῶν πέραθεν[41] ἀπολαύσματα· ἔτι δὲ καὶ αὐτὸς ἡμῖν σύνεστιν ὁσημέραι[42], καὶ μεταδίδωσι τῆς

---

17) Πόλις Κρήτης. 18) Ἐβλέπαμεν ἤδη τὴν πόλιν. 19) Ἐκ Λιβύης, ὁ Λίβυς δηλ. μεσημβρινοδυτικός. 20) Βορέως. 21) Τὸ γενόμενοι ἐλλείπει ἀπό τινα ἀντίγραφα.

22) Πόλις τις ἄγνωστος. 23) Διότι ἐξωρίσθη ἐγκαλέσας τὸν Δημοσθένην ὡς ἀδίκως στεφανωθέντα ὑπὸ τῆς πόλεως. 24) Χώρας, τῆς ἀντικρὺ τῆς Ῥόδου εἰς τὴν Ἀσίαν.

25) Ἠλαττοῦτο. 26) Καλλίτερα (εἰς τὴν ὑγείαν). 27) Ὅτι θέλει μᾶς δεχθῇ.

28) Ἄλλη πόλις τῆς Ῥόδου. 29) Μᾶς ἐχάρη ἢ μᾶς ὑπεχρέωσε, μᾶς ἐπεριποιήθη.

30) Τὸ προστάξαι ἡμᾶς (νὰ τὸν προστάξωμεν) κτλ. 31) Κατώρθωσε δοθῆναί μοι.

32) Ἄλλη πόλις τῆς Ῥόδου ἡ Κάμειρος. 33) Δύο συνοδοιπόροι του, ἤ, πιθανώτερον ὡς ἐκ τοῦ ὀνόματος τοῦ πρώτου, οἰκέται. 34) Εἶναι τοιαῦτα, ὥστε παρόντων αὐτῶν, οὐδὲν κτλ. 35) Κουκκουνάρας. 36) Τυπωμένα εἰς διάφορα σχήματα. 37) Οὐ μόνον.

38) Ὁ Αἰσχίνης ἦν τὸν δῆμον Κοθωκίδης. 39) Νὰ κάμω νὰ ἀρκεσθῶσιν. 40) Ὅτι νικῶμαι ἀπὸ τὰ φιλοφρονήματα, ὅτι καθυποχρεοῦμαι ἀπὸ αὐτά. 41) Τῶν ἐκ τῆς ἀντιπέραν ἠπείρου, τῆς Καρίας. 42) Καθημέραν.

αὐτοῦ σοφίας, ἡ σοφωτέρα ᾖ, καθ' ἡμᾶς ἐστιν· ἃ γὰρ ἐγὼ παθὼν ἐδιδάχθην, ταῦτα πρὶν παθεῖν φυλάττεται[43], σοφίᾳ, καὶ οὐχ ὥσπερ οἱ ἄφρονες, πείρᾳ διδασκόμενος· οὐ γὰρ πολιτεύεται[44]. Καὶ ὅσον γ' ἐπὶ Κλεοκράτει[45], οὐδεμιᾶς πόλεως ἄλλης, οὐδὲ ἀνθρώπων ἐπιθυμῶ, ἀλλὰ καὶ σφόδρα ἀσμενίζω τῇ συμφορᾷ[46], καὶ ἀρχὴ δοκεῖ μοι τοῦ βίου ἡ ἀπαλλαγὴ τῆς αὐτόθι[47] πολιτείας. Καὶ οὕτω μὲν ὑπεραγαπῶ τὰ παρόντα[48], καί, ὅπερ φασὶ Σοφοκλέα ἤδη γέροντα ὑπὲρ ἄλλης ἡδονῆς[49] εἰπεῖν, ὥσπερ κυνὸς λυττώσης ἀπηλλάχθαι ποτὲ τῆς τοῦ πολιτεύεσθαι ἡδονῆς δοκῶ[50], καὶ ὅταν ὁ νοῦς ἐπικρατῇ, τρισευδαίμων ἔγωγε ἐμαυτῷ τῆς φυγῆς ἣν φεύγω, φαίνομαι· ὅταν δ' αὖ πάλιν ὑπέλθῃ μοι λογισμός τε καὶ γνώμη τῶν αὐτόθι[47], οὐχ ἑταίρων μόνον, ἀλλὰ καὶ συγγενῶν, καὶ ἐκκλησίας, καὶ Κολυττοῦ[51], ἐν ᾧ πέντε καὶ τετταράκοντα ἔτη ᾤκησα, καὶ τοῦ Ἁλῆσι[52] χωρίου καὶ τῶν ἐκεῖ μοι μετὰ σοῦ καὶ Φιλίνου διατριβῶν γενομένων, μεταῤῥεῖ τὸ αἷμα ἀλλοσέ ποι τῶν σπλάγχνων πάλιν· καί μοι δὴ τότε καὶ λοιδορίαι, αἷς ἐλοιδορούμην ὑπὸ Δημοσθένους, ἥδισται δοκοῦσι, καὶ σκώμματα[53], ἐφ' οἷς οὐδεὶς ἔξω Κτησιφῶντος[54] ἐγέλασε πώποτε. Ἀλλὰ γὰρ ἅλις μὲν ἡμῖν δακρύων[55], σὺ δ' εὐτυχοίης· καὶ μὴ μόνον πολιτείαν ἅπασαν[56], ἀλλὰ καὶ Λεπτίνην[57] φεῦγε, ὅτι πρὸς ἡμᾶς ἔχει φιλαπεχθημόνως[58], καὶ ὅτι τἄλλα τοιοῦτός ἐστιν, ὅτου περιεῖναι μὲν μηδενὸς λαμπρότερον, ἡττᾶσθαι[59] δὲ ἀδοξότατον. Καὶ μάλιστα μὲν παραινῶ, φεῦγε τὰς μετ' αὐτοῦ διατριβάς· εἰ δ' αὖ συνέλθῃς[60] ἐκ τύχης, καὶ καθ' ἡμῶν λέγοι τι, πειρῶ σιωπᾶν, ἂν ἰσχύῃς[61], καὶ γελᾶν. Ἀλλ' ὁ μὲν δίδωσιν ἀποχρῶσαν δίκην[62] τῷ πᾶσιν ἀνθρώποις καὶ γέλωτος εἶναι δοκεῖν ἅμα καὶ μίσους ἄξιος· σὺ δέ, εἰ μὴ πάνυ φοβῇ τὴν θάλατταν, ἀφίκοιο[63] παρ' ἡμᾶς ποτε, καὶ παρασχὼν σεαυτὸν ἡμῖν ἰδεῖν, ἐπανήκοις πάλιν.

## Η'.

Σὺ μὲν οὐδέπω καὶ νῦν ἀφῖξαι πρὸς ἡμᾶς, ἀλλὰ καὶ νόσους, καὶ δίκας, καὶ πάντα μᾶλλον, τοῦ μὴ βούλεσθαι[64] ἐλθεῖν, πρὸς ἡμᾶς αἰτιᾷ[65]. Νικίας δὲ ἀφῖκται πάλαι καὶ Ἀνδρωνίδας. Εἰ μὲν οὖν νῦν γε σὺν Φιλίνῳ (πυν-

---

43) Πρὶν πάθῃ τι φυλάττεται ἀπὸ ἐκεῖνα ὅσα ἐδιδάχθην ἐγὼ ἐκ παθημάτων.
44) Δὲν λαμβάνει μέρος εἰς τὰ πολιτικά. 45) Ὅσον διὰ τὸν Κλ., καθ' ὅσον ἀφορᾷ τὸν Κλ. 46) Χαίρομαι διὰ τὴν συμφοράν μου, διὰ τὴν ἐξορίαν μου. 47) Ἐν Ἀθήναις.
48) Τὴν παροῦσαν κατάστασίν μου. 49) Περὶ ἄλλης τινὸς ἡδονῆς, τῆς τοῦ ἔρωτος.
50) Δοκῶ ἀπηλλάχθαι τῆς ἡδ. τοῦ πολ. ὥσπερ κυνὸς λ. 51) Ἐν μέρει τῆς πόλεως τῶν Ἀθηνῶν. 52) Ἁλαὶ (Αἰξωνίδες καὶ Ἀραφηνίδες) δῆμος τῆς Ἀττικῆς μεσημβρινῶς τοῦ Ὑμηττοῦ. 53) Τοῦ Δημοσθένους. 54) Ὁ Κτησιφῶν ἦτο φίλος τοῦ Δημοσθένους, ὅστις ἐπρότεινε νὰ στεφανωθῇ ὁ ῥήτωρ μὲ χρυσοῦν στέφανον. Τοῦτον διὰ τὴν πρότασιν ταύτην κατηγόρησε μὲν ὁ Αἰσχίνης, ὑπερασπίσθη δὲ ὁ Δημοσθένης, καὶ διὰ τοῦτο ἐξωρίσθη ὁ πρῶτος. 55) Ἀλλὰ φθάνουν τὰ δάκρυα. 56) Πᾶσαν πολιτικὴν ἀσχολίαν. 57) Ἐπίσημος Ἀθηναῖος κατὰ τοῦ ὁποίου ὡμίλησεν ὁ Δημοσθένης, καὶ τὸν ὁποῖον δὲν φαίνεται νὰ ἀγαπᾷ ὁ Αἰσχίνης. 58) Μετριώτερον τοῦ ἐπαχθῶς. 59) Ὑφ' ὅτου ἡττᾶσθαι. 60) Συναπαντηθῇς μετ' αὐτοῦ. 61) Ἂν τὸ κατορθώσῃς νὰ σιωπήσῃς.
62) Τιμωρεῖται, δοκῶν πᾶσιν ἀνθρώποις ἄξιος εἶναι. 63) Εἴθε νὰ φθάσῃς. 64) Ἀσχολ.
65) Προφασίζεται.

θάνομαι γὰρ αὐτὸν ἐξιέναι[66].) διέγνωκας ἀφικνεῖσθαι πρὸς ἡμᾶς, τάχα ἂν εἴη σοι ἀπολογία[67], καὶ λυθείη ὁ πόλεμος[68]· εἰ δὲ οὐδὲ σὺν ἐκείνῳ διέγνωκας ἐξιέναι, σὺ μὲν ἐπιτελεῖς, διὰ παντὸς ἡμῖν ἀφίξεσθαι, ἐγὼ δὲ ἅπαξ[69] ἀνιάσομαι.

## Θ'.

Περαιωθεὶς ἐπὶ Φύσκον[70], ἡσυχάσας ἐκείνην τὴν ἡμέραν (οὐχ ὑπ' ἀργίας, ἀλλὰ μηκυνεῖν ἔδοξεν ἡ περὶ τὸ ἆσθμα νόσος), ὡς τὴν νύκτα ἐνέδωκε, καὶ ῥᾴων[71] ἐγενόμην, βαδίσας εἰς τὴν Ἄμμον[72], ἐπεῖδον τὰ χωρία. Καί μοι ἔδοξε καλὰ μὲν ἄλλως, καὶ ποικίλα εἶναι (τὰ χωρία)· καὶ γὰρ ἐλαιῶν ἦν, καὶ πολλὰ φυτὰ, καὶ ἄμπελοι συχναὶ, καὶ σπέρματα πίονα, καὶ νομαὶ καλαί· ἐπαύλιον[73] δὲ οὐδὲ μέτριον, ἀλλὰ πάντα ἐρείπια. Ἐδέξατο δ' ἡμᾶς ὁ Μυρωνίδης φιλανθρώπως σφόδρα· τὰ μέντοι χωρία δυοῖν ταλάντοιν ἐπριάμην, καὶ νῦν ἐπαύλιόν τι μηχανῶμαι[74] τοιοῦτον, οἷον ἂν ἐμηχανώμην ἐγὼ κεκτημένος βραχέα, καὶ μέλλων ὅμως οἰκεῖν ἐνθάδε, μὰ τοὺς θεοὺς οὐχ ἡδόμενος ἐπὶ τῇ στερήσει τῆς ἐμαυτοῦ πόλεως, καὶ μάλιστα τοιαύτης, ἐν ᾗ δύναιτο ἄν τις ἥσσον ἀλγεῖν ὑπολαμβάνων οἰκεῖν.

---

66) Ὅτι κινᾷ (ἐβγαίνει) διὰ τὸ ταξεῖδι. Ἡ φράσις ἐν παρενθέσει. 67) Ἡ ἔλευσίς σου εἴη ἀπολογία. 68) Ὁ κατὰ σοῦ πόλεμός μου. 69) Θὰ λυπηθῶ ἐφ' ἅπαξ διὰ πάντοτε, γνωρίζων ὅτι δὲν θὰ ἔλθῃς. 70) Χωρίον τῆς Ῥόδου. 71) Ὑγιέστερος. 72) Χωρίον τι. 73) Ἀγροτικὴ κατοικία. 74) Προσπαθῶ νὰ κατασκευάσω.

---

# ΠΙΝΑΞ

## ΤΩΝ ΕΝ ΤΩ Β'. ΤΟΜΩ ΠΕΡΙΕΧΟΜΕΝΩΝ.


Α'. Πλουτάρχου ἐκ τῶν Παραλλήλων Βίων Θεμιστοκλῆς. . . . . . . . . . Σελ. 1
— — — — Ἀριστείδης. . . . . . . . . . . . . 27
— — — — Κίμων. . . . . . . . . . . . . . 53
— ἐκ τῶν ἠθικῶν του. Περὶ τοῦ πῶς ἄν τις ὑπ' ἐχθρῶν ὠφελοῖτο. 69
— — — Περὶ παίδων ἀγωγῆς. . . . . . . . . . 79
Β'. Ἰσοκράτους. Πρὸς Δημόνικον παραίνεσις. . . . . . . . . . . . . . 99
— Πρὸς Φίλιππον . . . . . . . . . . . . . . . . . . . . 108
— Πανηγυρικός. . . . . . . . . . . . . . . . . . . . 135
— Ἀρεοπαγητικός. . . . . . . . . . . . . . . . . . . 173
Γ'. Λυσίου Λόγος ἐπιτάφιος ἐπὶ τῶν ἐν τῷ πολέμῳ ὑπὲρ τῶν Κορινθ. ἀποθανόντων. 186
— Κατὰ Σιτοπωλῶν. . . . . . . . . . . . . . . . . . . . 200
— Κατὰ Ἐρατοσθένους. . . . . . . . . . . . . . . . . . . 204
Δ'. Βασιλείου τοῦ Μεγάλου. Ὁμιλία ῥηθεῖσα ἐν λιμῷ καὶ αὐχμῷ. . . . . . 220
— — Παραίνεσις πρὸς τοὺς νέους. . . . . . . . . . . 233
Ε'. Γρηγορίου Θεολόγου τοῦ Ναζιανζηνοῦ. Περὶ Ἱερωσύνης. . . . . . . . . 246
ΣΤ'. Αἰσχίνου ἐκ τῶν ἐπιστολῶν. . . . . . . . . . . . . . . . . . 283


ΤΕΛΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΟΜΟΥ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006